UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Homeri Ilias

### Homerus

### Lipsiae, 1876

20. Buch

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2532

Visual Library

αὐδήεντα δ' ἔθηκε θεὰ λευκώλενος Ἥρη·
καὶ λίην ϲ' ἔτι νῦν γε ϲαώϲομεν ὄβριμ' Ἀχιλλεῦ·
ἀλλά τοι ἐγγύθεν ἦμαρ ὀλέθριον· οὐδέ τοι ἡμεῖϲ
αἴτιοι, ἀλλὰ θεόϲ τε μέγαϲ καὶ μοῖρα κραταιή.
οὐδὲ γὰρ ἡμετέρῃ βραδυτῆτί τε νωχελίῃ τε
Τρῶεϲ ἀπ' ὤμοιιν Πατρόκλου τεύχε' ἕλοντο·
ἀλλὰ θεῶν ὤριϲτοϲ, ὃν ἠύκομοϲ τέκε Λητώ,
ἔκταν' ἐνὶ προμάχοιϲι καὶ Ἕκτορι κῦδοϲ ἔδωκε.
νῶι δὲ καί κεν ἅμα πνοιῇ Ζεφύροιο θέοιμεν,
ἥν περ ἐλαφροτάτην φάϲ' ἔμμεναι· ἀλλὰ ϲοὶ αὐτῷ
μόρϲιμόν ἐϲτι θεῷ τε καὶ ἀνέρι ἶφι δαμῆναι.
ὣϲ ἄρα φωνήϲαντοϲ ἐρινύεϲ ἔϲχεθον αὐδήν.
τὸν δὲ μέγ' ὀχθήϲαϲ προϲέφη πόδαϲ ὠκὺϲ Ἀχιλλεύϲ·
Ξάνθε, τί μοι θάνατον μαντεύεαι; οὐδέ τί ϲε χρή.
εὖ νύ τοι οἶδα καὶ αὐτόϲ, ὅ μοι μόροϲ ἐνθάδ' ὀλέϲθαι,
νόϲφι φίλου πατρὸϲ καὶ μητέροϲ· ἀλλὰ καὶ ἔμπηϲ
οὐ λήξω πρὶν Τρῶαϲ ἄδην ἐλάϲαι πολέμοιο.
ἦ ῥα, καὶ ἐν πρώτοιϲ ἰάχων ἔχε μώνυχαϲ ἵππουϲ.

---

## ΙΛΙΑΔΟϹ Υ.

Ὣϲ οἳ μὲν παρὰ νηυϲὶ κορωνίϲι θωρήϲϲοντο
ἀμφὶ ϲὲ Πηλέοϲ υἱὲ μάχηϲ ἀκόρητον Ἀχαιοί,

---

V. L. 408 ὄμβριμ' CHL. ἀχϊλεῦ C. — 409 ἀλλ' ἤ τοι L Lips. ἦμαρ ἐγγύθεν G. ὀλέθριον ἀλλ' οὔτοι ἡμεῖϲ H. οὐδέ τοι ACDES Cant. Harl. Vat. Townl. Frgm. Mosc. Vrat. A. οὐδέ τι GL Lips. Flor. et olim vulgo. — 410 θεόϲ τίϲ L. — 411 τε ante νωχελίῃ omitt. L Lips. Vrat. A. — 412 τρῷεϲ L. πάτροκλον Eust. — 413 ὤριϲτοϲ AE Rom. ἄριϲτοϲ G. — 414 ἐνι AD. ἔδωκε CDEG Syr. — 415 θέοιμεν (ω superscr.) A. θέωμεν C. — 416 ΤΗΝΠΕΡ Syr. τόνπερ ἐλαφρότατόν φαϲ' Schol. Apoll. Rhod. II, 276. φᾶϲ' L. ἀλλά ϲοι GH. — 417 τε omitt. L Lips. — 418 ὡϲ A. ἐρινύεϲ ADH Townl. Vrat. d. Schol. Τ 407. ἐριννύεϲ CEGL edd. vett. ἔϲχεδον L. — 419 τόνδε G. ἀχϊλεύϲ C. — 420 οὐδέ τι ϲε ACDGHL. τι ϲὲ E. — 422 μητρὸϲ L. — 423 τρῷαϲ L. τρωϲὶν Barocc. ἅδην G Townl. ᾅδην C. ἀδην A. ἐλάϲω ἢ μᾶλλον ἐλάϲαι Eust. — 424 ῥὰ CGL.

A. c. 407 ἀθετεῖται, conf. Schol. Τ 418. — 416, 417 ἀθετοῦνται Aristonicus.

---

V. L. 1 Ὡϲ A. οἱ μὲν C. παρα H. — 2 omitt. Schol. Κ 167. πηλέωϲ E Mor. Apoll. Soph. 20, 22. Schol. Ν 621. ἀκόρητοι H Vrat. A. Townl. pro var. lect. Flor. Pseudoplut. 117, 35.

A. c. 2 ἐὰν πληθυντικῶϲ γράφηται ἀκόρητοι, ϲυνάψομεν τῇ τελευταίᾳ λέξει ὡϲ ἂν ἐπιθετικὸν ἐκείνηϲ· ἐὰν δὲ ἑνικῶϲ, βραχὺ διαϲτελοῦμεν Nicanor.

Τρῶεϲ δ' αὖθ' ἑτέρωθεν ἐπὶ θρῳϲμῷ πεδίοιο.
Ζεὺϲ δὲ Θέμιϲτα κέλευϲε θεοὺϲ ἀγορὴν δὲ καλέϲϲαι
κρατὸϲ ἀπ' Οὐλύμποιο πολυπτύχου· ἣ δ' ἄρα πάντη
φοιτήϲαϲα κέλευϲε Διὸϲ πρὸϲ δῶμα νέεϲθαι.
οὔτέ τιϲ οὖν ποταμῶν ἀπέην νόϲφ' Ὠκεανοῖο,
οὔτ' ἄρα νυμφάων, αἵ τ' ἄλϲεα καλὰ νέμονται
καὶ πηγὰϲ ποταμῶν καὶ πίϲεα ποιήεντα.
ἐλθόντεϲ δ' ἐϲ δῶμα Διὸϲ νεφεληγερέταο
ξεϲτῇϲ αἰθούϲῃϲιν ἐνίζανον, ἃϲ Διὶ πατρὶ
Ἥφαιϲτοϲ ποίηϲεν ἰδυίῃϲι πραπίδεϲϲιν.
ὣϲ οἳ μὲν Διὸϲ ἔνθον ἀγηγέρατ'· οὐδ' ἐνοϲίχθων
νηκούϲτηϲε θεᾶϲ, ἀλλ' ἐξ ἁλὸϲ ἦλθε μετ' αὐτούϲ,
ἷζε δ' ἄρ' ἐν μέϲϲοιϲι, Διὸϲ δ' ἐξείρετο βουλήν·
τίπτ' αὖτ' ἀργικέραυνε θεοὺϲ ἀγορὴν δὲ κάλεϲϲαϲ;
ἤ τι περὶ Τρώων καὶ Ἀχαιῶν μερμηρίζειϲ;
τῶν γὰρ νῦν ἄγχιϲτα μάχη πόλεμόϲ τε δέδηε.
τὸν δ' ἀπαμειβόμενοϲ προϲέφη νεφεληγερέτα Ζεύϲ·
ἔγνωϲ ἐννοϲίγαιε ἐμὴν ἐν ϲτήθεϲι βουλήν,

---

V. L. 3 τρῷεϲ L. δ' αὖ L. ἐπι D. θρωιϲμῶι A: ceteri θρωϲμῷ. post hunc insertus est in C man. rec. versus ἕκτορϊ θωρήϲϲοντο μετὰ πρώτοιϲϊν ἐόντϊ. — 4 θέμιϲτι GS Townl. Cant. Flor. Schol. Λ 807. ζεὺϲ δ' ἐκέλευϲε θέμιϲτι Lips. θέμιϲτ' ἐκέλευϲε Pseudoplut. 132, 36. κέλευϲε ADEGHLS Schol. Λ 807. Apoll. Soph. 86, 34. Cram. An. Ox. III, 232, 8. κέλευε C. ἀγορὴν δὲ AD. — 5 ἣδ' CHL. πάντῃ AEGH Syr. ceteri πάντη. — 7 οὔτέ τιϲ AC. τῖϲ H. — 8 αἵ τ' ACD Barocc. Vrat. b. A. Mosc. 2. ταί τ' EGHLS Syr. — 9 πίϲεα ADE Rom. Et. Mg. 673, 16. Et. Gud. 529, 52. Cram. Ep. 63, 25. πήϲεα L. πείϲϲεα H. πίϲϲεα Harl. πείϲϲεα Vrat. d. πείϲεα CG Syr. Lips. Cant. Vrat. A. Mosc. 2. Flor. Plutarchus de Defectu oracul. 11. Apoll. Soph. 129, 21, conf. Ζ 124. πιήεντα L Et. Mg. 673, 16. — 10 νεφεληγερέταο A. — 11 αἰθούϲϲῃϲιν A Syr. ἐνίζανον AC: ceteri ἐφίζανον. ἔνιοι ἐφίζανον A in marg. — 12 ποίηϲεν ἰδυίῃϲι ADEGLS Hesych. s. v. Ἥφαιϲτοϲ. ἰδυίῃϲιν Lips. ἰδυίοιϲϊ H. εἰδυίηιϲι C. ΠΟΙΗϹ' ЄΙΔΥΙΗΙϹΙ Syr. conf. ad Α 608. — 13 οἳ μὲν C. ἔνδον omitt. Syr. ΑΓΗΓЄΡΑΟ Syr. — 15 ἵζε CDGHL. ἶζε A. ἀρ A, ἆρ DGHL. ἐξήρετο CL Barocc. Mor. Lips. — 16 αὖτ' libri mei praeter G, Barocc. Lips. Mor. Harl. Vat. αὖ EG Flor. Rom: ἀγορὴν δὲ AD. κάλεϲαϲ E Lips. ἀγορήνδ' ἐκάλεϲϲαϲ GH Flor. Pseudoplut. 132, 37. ita editores usque ad Heynium, qui ἀγορήνδε κάλεϲϲαϲ reduxit. — 17 ἤ EGL. τί L. τρῴων L. — 18 ΤΩΓΑΡ Syr. δέδηε ACGL Syr. δέδῃε H. — 20 ἐνὶ EL Lips.

---

A. c. 11 ἐνίζανον: ἐφίζανον Zenodotus. — 12 οὕτωϲ διὰ τοῦ ῑ τὸ ἰδυίῃϲι καὶ τέλειον τὸ ποίηϲε[ν] Didymus, conf. Eust. 1193, 25.

ὧν ἕνεκα ξυνάγειρα· μέλουσί μοι ὀλλύμενοί περ.
ἀλλ' ἦ τοι μὲν ἐγὼ μενέω πτυχὶ Οὐλύμποιο
ἥμενος, ἔνθ' ὁρόων φρένα τέρψομαι· οἱ δὲ δὴ ἄλλοι
ἔρχεσθ', ὄφρ' ἂν ἵκησθε μετὰ Τρῶας καὶ Ἀχαιούς,
ἀμφοτέροισι δ' ἀρήγεθ', ὅπῃ νόος ἐστὶν ἑκάστου.
εἰ γὰρ Ἀχιλλεὺς οἶος ἐπὶ Τρώεσσι μαχεῖται,
οὐδὲ μίνυνθ' ἕξουσι ποδώκεα Πηλεΐωνα.
καὶ δέ τέ μιν καὶ πρόσθεν ὑποτρομέεσκον ὁρῶντες·
νῦν δ', ὅτε δὴ καὶ θυμὸν ἑταίρου χώεται αἰνῶς,
δείδω μὴ καὶ τεῖχος ὑπὲρ μόρον ἐξαλαπάξῃ.
ὣς ἔφατο Κρονίδης, πόλεμον δ' ἀλίαστον ἔγειρε.
βὰν δ' ἴμεναι πόλεμον δὲ θεοὶ δίχα θυμὸν ἔχοντες·
Ἥρη μὲν μετ' ἀγῶνα νεῶν καὶ Παλλὰς Ἀθήνη
ἠδὲ Ποσειδάων γαιήοχος ἠδ' ἐριούνης
Ἑρμείας, ὃς ἐπὶ φρεσὶ πευκαλίμῃσι κέκασται·
Ἥφαιστος δ' ἅμα τοῖσι κίε σθένεϊ βλεμεαίνων,
χωλεύων, ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί·
ἐς δὲ Τρῶας Ἄρης κορυθαίολος, αὐτὰρ ἅμ' αὐτῷ
Φοῖβος ἀκερσεκόμης ἠδ' Ἄρτεμις ἰοχέαιρα
Λητώ τε Ξάνθός τε φιλομμειδής τ' Ἀφροδίτη.

---

V. L. 21 μέλλουσί C. — 24 ὄφραν D. μετα A. τρῶας L. — 25 ὅπῃ AE 1193, 41 Schol. Θ 5. Ο 234. ὅπη CDE 1194, 3 GHL Syr. — 26 ἀχῖλεὺς C. ἐπι A. ἐνὶ Vrat. b. A. τρώεσσι L. μάχηται C 1. man. — 28 δέ τε μιν DH. δέ τι S. — 30 ὑπὲρ μόρον ACGHL Schol. Υ 125. Cram. Ep. 423, 16. ὑπερμόρον D. ΥΠΕΡΜΟΡΟΝ Syr. ὑπέρμορον ES Cant. Rom. — 31 ὡς A. κρονῖδης πόλεμόνδε θεοὶ δῖ H. ἔγειρε ACDGL Syr. ἄγειρε Vrat. d. ὄρωρε Vat. — 32 πόλεμον δὲ AD. ΠΟΛΕΜΟΝΔῈ Syr. — 33 παλὰς L. — 34 ποσιδάων A Syr. ποσειδ A in marg. ἡ δὲ — ἦδ' H. — 35 ἐπι A. ἐνὶ GHLS. ἐνι D. πευκαλίμοισι L. κέκασται HL Lips. Vrat. b. d. Mosc. 2. Flor. Rom. κέκαστο ACDEGS Syr. — 36 ἅμα: ἄρα Cant. — 37 ὑπο ADH. ἀραιαί A: ceteri ἀραιαί. — 38 τρῷας L. κορυθαιόλος A. κορυθαιόλος DEGH Flor. Rom. ΑΥΤᾺΡ' Syr. — 39 ἠδ' Apoll. Soph. 19, 26. — 40 ξάνθός τε ACD. ξανθός τε H. φιλομειδής EGL Townl. Lips. edd. vett.

---

A. c. 28 ἀρίσταρχος καὶ δέ τι μιν διὰ τοῦ ῑ Didymus. — 30 ὑπέρμορον Aristarchus, Aristophanes, Ptolem. Ascalonita cum plerisque: ὑπὲρ μόρον Heliodorus, conf. Schol. Β 155. Apoll. Soph. 160, 18. Cram. Epim. 442, 32. Eust. 1193, 57. τινὲς γράφουσιν „οὐ μέντοι μοῖρ' ἐστὶν ἔτι ζωοῦ Ἀχιλῆος Ἰλίου ἐκπέρθαι εὐναιόμενον πτολίεθρον. πέρσει δουράτεος ἵππος καὶ μῆτις Ἐπειοῦ" Schol. V. — 35 ἀρίσταρχος κέκασται, οὐ διὰ τοῦ ō κέκαστο Didymus.

εἵωϲ μέν ῥ' ἀπάνευθε θεοὶ θνητῶν ἔϲαν ἀνδρῶν,
τεῖοϲ Ἀχαιοὶ μὲν μέγ' ἐκύδανον, οὕνεκ' Ἀχιλλεὺϲ
ἐξεφάνη, δηρὸν δὲ μάχηϲ ἐπέπαυτ' ἀλεγεινῆϲ·
Τρῶαϲ δὲ τρόμοϲ αἰνὸϲ ὑπήλυθε γυῖα ἕκαϲτον,
δειδιόταϲ, ὅθ' ὁρῶντο ποδώκεα Πηλεΐωνα
τεύχεϲι λαμπόμενον, βροτολοιγῷ ἶϲον Ἄρηι.
αὐτὰρ ἐπεὶ μεθ' ὅμιλον Ὀλύμπιοι ἤλυθον ἀνδρῶν,
ὦρτο δ' Ἔριϲ κρατερὴ λαοϲϲόοϲ, αὖε δ' Ἀθήνη,
ϲτᾶϲ' ὁτὲ μὲν παρὰ τάφρον ὀρυκτὴν τείχεο ἐκτόϲ,
ἄλλοτ' ἐπ' ἀκτάων ἐριδούπων μακρὸν ἀύτει.
αὖε δ' Ἄρηϲ ἑτέρωθεν ἐρεμνῇ λαίλαπι ἶϲοϲ
ὀξύ, κατ' ἀκροτάτηϲ πόλιοϲ Τρώεϲϲι κελεύων,
ἄλλοτε πὰρ Ϲιμόεντι θεῶν ἐπὶ Καλλικολώνῃ.
ὣϲ τοὺϲ ἀμφοτέρουϲ μάκαρεϲ θεοὶ ὀτρύναντεϲ
ϲύμβαλον, ἐν δ' αὐτοῖϲ ἔριδα ῥήγνυντο βαρεῖαν.
δεινὸν δὲ βρόντηϲε πατὴρ ἀνδρῶν τε θεῶν τε
ὑψόθεν· αὐτὰρ νέρθε Ποϲειδάων ἐτίναξε
γαῖαν ἀπειρεϲίην ὀρέων τ' αἰπεινὰ κάρηνα.
πάντεϲ δ' ἐϲϲείοντο πόδεϲ πολυπίδακοϲ Ἴδηϲ
καὶ κορυφαί, Τρώων τε πόλιϲ καὶ νῆεϲ Ἀχαιῶν.

---

V. l. 41 ἕωϲ G. — 42 * τεῖοϲ: τέωϲ CDHL et Heynii omnes. ΤΕΙΩϹ Syr. τέωϲ δ' AGS. ἐν ἄλλῳ τόφρα δ' ἀχαιοὶ μὲν μέγ' ἐκύδανον A. μέγ' ἐκύδανον ADGHS. μέγα κύδανον CEL Lips. Harl. Vrat. b. A. ἀχῖλεὺϲ C. — 43 ΑΠΈΠΑΥΤ' Syr. conf. C 248. — 44 τρῷαϲ L. τρόμοϲ δεινὸϲ L Lips. ἐπήλυθε C Mosc. 2. — 44—46 omitt. Syr. add. 2. man. in marg. — 48 λαοϲϲόοϲ A. — 49 ὅτε AC 1. man. G Syr. ὅτὲ H. ἐντόϲ Barocc. — 50 ἐριγδούπων Lips. — 51 ὦρτο δ' Ἄρηϲ Strabo XIII, 597. — 52 πόλεωϲ DES Rom. τρῴεϲϲι L. — 53 παρ DH. θεῶν ADL Ven. B. Harl. Hesych. II, 312. Suidas II, 1, 43, 13: θέων CH Syr. θέον G. θέων ἢ θεῶν Eust. 1195, 26. τὸ δὲ θεῶν ἐπὶ καλλικολώνῃ γράφεται καὶ θέων ἤτοι τρέχων Eust. 1195, 39. καλλικολώνηι A. — 54 ὡϲ A. μάκαρρι S. ὀτρύναντεϲ CD. ὀτρύναντεϲ (ο) A. ceteri ὀτρύνοντεϲ. — 56 δὲ βρόντηϲε A Syr. Vrat. b. δ' ἐβρόντηϲε CEGHLS. ἐβρόντηϲε D. ΠΑΤΗΡ' Syr. — 57 ΝΕΡΘΕ Syr. ἔνερθε ceteri. ποϲιδάων A Syr. ποϲειδ A in marg. ἐτίναξε ACDEG Syr. — 58 ἐπεινὰ L Lips. — 59 πολυπίδακοϲ A. πολυπίδακοϲ CL Syr. Lips. Ven. B. Townl. Bekk. An. 738, 25: πολυπιδάκου DEGHS edd. vett. Rhet. Gr. III, 192, 7. 228, 10. 246, 15. — 60 τρῴων L. πόλειϲ A Vrat. b. sed A in marg. πόλιϲ. καὶ τεῖχοϲ S Cant.

---

A. c. 42 τεῖοϲ. conf. H. U. 234. — 53 θεῶν Aristarchus: Herodianus θέων. — 57 ἔνερθε: ἀρίϲταρχοϲ ἰακῶϲ αὐτὰρ νέρθε Didymus. — 59 οὕτωϲ ἀρίϲταρχοϲ πολυπίδακοϲ, ἄλλοι δὲ πολυπιδάκου Didymus.

ἔδειϲεν δ' ὑπένερθεν ἄναξ ἐνέρων Ἀϊδωνεύϲ,
δείϲαϲ δ' ἐκ θρόνου ἆλτο καὶ ἴαχε, μή οἱ ὕπερθε
γαῖαν ἀναῤῥήξειε Ποϲειδάων ἐνοϲίχθων,
οἰκία δὲ θνητοῖϲι καὶ ἀθανάτοιϲι φανείη
ϲμερδαλέ' εὐρώεντα, τά τε ϲτυγέουϲι θεοί περ.
τόϲϲοϲ ἄρα κτύποϲ ὦρτο θεῶν ἔριδι ξυνιόντων.
ἤ τοι μὲν γὰρ ἔναντα Ποϲειδάωνοϲ ἄνακτοϲ
ἵϲτατ' Ἀπόλλων Φοῖβοϲ ἔχων ἰὰ πτερόεντα,
ἄντα δ' Ἐνυαλίοιο θεὰ γλαυκῶπιϲ Ἀθήνη·
Ἥρῃ δ' ἀντέϲτη χρυϲηλάκατοϲ κελαδεινὴ
Ἄρτεμιϲ ἰοχέαιρα, καϲιγνήτη ἑκάτοιο·
Λητοῖ δ' ἀντέϲτη ϲῶκοϲ ἐριούνιοϲ Ἑρμῆϲ,
ἄντα δ' ἄρ' Ἡφαίϲτοιο μέγαϲ ποταμὸϲ βαθυδίνηϲ,
ὃν Ξάνθον καλέουϲι θεοί, ἄνδρεϲ δὲ Ϲκάμανδρον.
ὣϲ οἱ μὲν θεοὶ ἄντα θεῶν ἴϲαν· αὐτὰρ Ἀχιλλεὺϲ
Ἕκτοροϲ ἄντα μάλιϲτα λιλαίετο δῦναι ὅμιλον
Πριαμίδεω· τοῦ γάρ ῥα μάλιϲτά ἑ θυμὸϲ ἀνώγει
αἵματοϲ ἆϲαι Ἄρηα ταλαύρινον πολεμιϲτήν.
Αἰνείαν δ' ἰθὺϲ λαοϲϲόοϲ ὦρϲεν Ἀπόλλων
ἀντία Πηλείωνοϲ, ἐνῆκε δέ οἱ μένοϲ ἠΰ·
υἱεῖ δὲ Πριάμοιο Λυκάονι εἴϲατο φωνήν·
τῷ μιν ἐειϲάμενοϲ προϲέφη Διὸϲ υἱὸϲ Ἀπόλλων·
Αἰνεία, Τρώων βουληφόρε, ποῦ τοι ἀπειλαί,

V. L. 61 ἔδδειϲεν libri. ἔδδειϲε E. ἄναξ ἀνέρων L. — 62 ἆλτο C. οἱ omitt. D. μή οἱ ἔπειτα Rhet. Gr. I, 254, 21. ὕπερθε ACDGH Syr. — 63 ποϲιδάων A Syr. ποϲειδ A in marg. — 64 φανείη CEG Plato Rep. III, 386 D: φανήηι D. φανήῃ H Townl. φανήη L Syr. Lips. Mosc. 2. φανῇη Harl. φανῇῃ Vrat. b. d. φανήιηι A. — 65 ΠΕΡ' Syr — 66 ϲυνιόντων E. — 67 ποϲιδάωνοϲ A Syr. ποϲειδ A in marg. — 69 ἐνυάλοιο L. — 70 ἀντέϲτη χρυϲηλάκατοϲ A. — 71 ἄρτεμιϲ ἀγροτέρη Apoll. Soph 97. 31, conf. Φ 471. ἑκάτη τε D, corr. eadem manus ἑκάτοιο. — 72 ἀντέϲτη A — 73 ἂρ HL. — 74 κάμανδρον L Harlei. — 75 ὡϲ A. οἱ μὲν C. ΑΥΤΑΡ' Syr. ἀχϊλεὺϲ C. — 77 πριαμίδου Vrat. A. γὰρ ῥὰ L. μάλιϲτά ἑ C Ven. B. Mosc. 2. μάλιϲτά γε ADEGHLS Syr. — 79 λαοϲϲόοϲ A. — 80 ἐνῆκε A. — 81 υἱέϊ CDGHLS, conf. Γ 174. Φ 141. δ 10. Ξ 115. Ω 61. — 83 τρώων L.

A. c. 62 ἆλτο: ἐν ἄλλῳ ἐκ θρόνου ὦρτο, οὕτωϲ καὶ ἡ μαϲϲαλιωτική Didymus. — 72 ϲῶκοϲ: ϲωκὸϲ Tyrannio. — 77 ἀρίϲταρχοϲ μάλιϲτά ἑ, μάλιϲτα αὐτόν Didymus.

ἃϲ Τρώων βαϲιλεῦϲιν ὑπίϲχεο οἰνοποτάζων,
Πηλείδεω Ἀχιλῆοϲ ἐναντίβιον πολεμίξειν;
τὸν δ' αὖτ' Αἰνείαϲ ἀπαμειβόμενοϲ προϲέειπε·
Πριαμίδη, τί με ταῦτα καὶ οὐκ ἐθέλοντα κελεύειϲ,
ἀντία Πηλείωνοϲ ὑπερθύμοιο μάχεϲθαι;
οὐ μὲν γὰρ νῦν πρῶτα ποδώκεοϲ ἄντ' Ἀχιλῆοϲ
ϲτήϲομαι, ἀλλ' ἤδη με καὶ ἄλλοτε δουρὶ φόβηϲεν
ἐξ Ἴδηϲ, ὅτε βουϲὶν ἐπήλυθεν ἡμετέρῃϲι,
πέρϲε δὲ Λυρνηϲϲὸν καὶ Πήδαϲον· αὐτὰρ ἐμὲ Ζεὺϲ
εἰρύϲαθ', ὅϲ μοι ἐπῶρϲε μένοϲ λαιψηρά τε γοῦνα.
ἦ κ' ἐδάμην ὑπὸ χερϲὶν Ἀχιλλῆοϲ καὶ Ἀθήνηϲ,
ἥ οἱ πρόϲθεν ἰοῦϲα τίθει φάοϲ ἠδὲ κέλευεν
ἔγχεϊ χαλκείῳ Λέλεγαϲ καὶ Τρῶαϲ ἐναίρειν.
τῶ οὐκ ἔϲτ' Ἀχιλῆοϲ ἐναντίον ἄνδρα μάχεϲθαι·
αἰεὶ γὰρ πάρα εἷϲ γε θεῶν, ὃϲ λοιγὸν ἀμύνει.
καὶ δ' ἄλλωϲ τοῦ γ' ἰθὺ βέλοϲ πέτετ', οὐδ' ἀπολήγει
πρὶν χροὸϲ ἀνδρομέοιο διελθέμεν. εἰ δὲ θεόϲ περ
ἶϲον τείνειεν πολέμου τέλοϲ, οὔ με μάλα ῥέα
νικήϲει, οὐδ' εἰ παγχάλκεοϲ εὔχεται εἶναι.
τὸν δ' αὖτε προϲέειπεν ἄναξ Διὸϲ υἱὸϲ Ἀπόλλων·
ἥρωϲ, ἀλλ' ἄγε καὶ ϲὺ θεοῖϲ αἰειγενέτῃϲιν

---

V. l. 84 ἃϲ ACDGHLS Cant. Barocc. Mor. Ven. B. Vat. Vrat. b. d. A. Suidas II, 2, 292, 21. τὰϲ E Syr. edd. vett. correxit Heynius. τρώων L. ὑπίϲχεο ACDH ex corr. Townl. Mosc. 2. Ven. B. Vrat. d. ὑπέϲχεο EGLS Syr. Suidas l. l. conf. Ψ 195. — 85 * πολεμίξειν: libri πολεμίζειν, conf. Β 328. Κ 451. Ν 644. Ο 179. Ω 667. — 86 προϲέειπε ACDGH Syr. — 87 τί με omitt. L. — 89 νῦν omitt. S. γὰρ δὴ DG Flor. πρῶτον C. ἀχιλλῆοϲ E. — 91 ἡμετέρῃϲι CDE Syr. — 92 λυρνηϲὸν L. πήδαϲϲον C. — 93 ἐνῶρϲε Townl. τε omitt. C. γούνατα L. — 94 ἤ κε δάμην H. ἀχϊλῆοϲ C. — 95 φάοϲ εἴδ' G. ἦδε κέλευεν H. ΗΔΕΚΈΛΕΥΕΝ Syr. vulgo ἠδ' ἐκέλευεν. ἐκέλευϲεν D Mor. Mosc. 2. — 96 λέλεξαϲ L. τρῷαϲ L. — 97 τῶ ACDHL Syr. τῷ G. ἀχιλλῆοϲ E. — 98 omitt. D. — 99 δ' ἄλλων G. τοῦδ' C Schol. Φ 169. ἰθὺ DEHL: ἰθὺϲ CG Syr. edd. vett. Schol. Φ 169 (Aristonici). an τοῦ ἰθὺϲ πέτεται βέλοϲ? ἐν ἄλλῳ ἰθὺ χωρὶϲ τοῦ ϲ̄ A. — 100 διελθέμεν DEHLS Lips. edd. vett. διελθεῖν ACG. γρ. διελθέμεν A. — 101 τείνειε CDE Syr. Lips. Flor. Rom. οὔ κε AC Harl. Townl. οὔ με καὶ μάλα L Lips. ῥεῖα GL Lips. Rom. — 102 νικήϲει: νικήϲῃ Vat. Bentleius νικήϲει'. — 103 ÁΝΑΞ ΑΝΔΡΩΝΑΓΑ-ΜΕΜΝΟΝ Syr. suprascr. 2. man. ЄΚΑЄΡΓΟϹΑΠΟΛΛΩΝ. — 104 ἀλλά γε CDH et olim vulgo. ἀλλ' ἄγε AEGL Rom. Harlei. αἰειγενέτοιϲιν L.

---

A. c. 84 οὕτωϲ διὰ τοῦ ῑ ὑπίϲχεο Didymus.

εὔχεο· καὶ δὲ cέ φαcι Διὸc κούρηc Ἀφροδίτηc
ἐκγεγάμεν, κεῖνοc δὲ χερείονοc ἐκ θεοῦ ἐcτιν.
ἣ μὲν γὰρ Διόc ἐcθ᾽, ἣ δ᾽ ἐξ ἁλίοιο γέροντοc.
ἀλλ᾽ ἰθὺc φέρε χαλκὸν ἀτειρέα, μηδέ cε πάμπαν
λευγαλέοιc ἐπέεccιν ἀποτρεπέτω καὶ ἀρειῇ.
  ὣc εἰπὼν ἔμπνευcε μένοc μέγα ποιμένι λαῶν,
βῆ δὲ διὰ προμάχων κεκορυθμένοc αἴθοπι χαλκῷ.
οὐδ᾽ ἔλαθ᾽ Ἀγχίcαο πάιc λευκώλενον Ἥρην
ἀντία Πηλείωνοc ἰὼν ἀνὰ οὐλαμὸν ἀνδρῶν·
ἣ δ᾽ ἄμυδιc cτήcαcα θεοὺc μετὰ μῦθον ἔειπε·
  φράζεcθον δὴ cφῶι, Ποcείδαον καὶ Ἀθήνη,
ἐν φρεcὶν ὑμετέρηcιν, ὅπωc ἔcται τάδε ἔργα.
Αἰνείαc ὅδ᾽ ἔβη κεκορυθμένοc αἴθοπι χαλκῷ
ἀντία Πηλείωνοc, ἀνῆκε δὲ Φοῖβοc Ἀπόλλων·
ἀλλ᾽ ἄγεθ᾽, ἡμεῖc πέρ μιν ἀποτρωπῶμεν ὀπίccω
αὐτόθεν· ἤ τιc ἔπειτα καὶ ἡμείων Ἀχιλῆι
παρcταίη, δοίη δὲ κράτοc μέγα, μηδέ τι θυμῷ
δευέcθω, ἵνα εἰδῇ ὅ μιν φιλέουcιν ἄριcτοι
ἀθανάτων, οἳ δ᾽ αὖτ᾽ ἀνεμώλιοι, οἳ τὸ πάροc περ
Τρωcὶν ἀμύνουcιν πόλεμον καὶ δηιοτῆτα.
πάντεc δ᾽ Οὐλύμποιο κατήλθομεν ἀντιόωντεc
τῆcδε μάχηc, ἵνα μή τι μετὰ Τρώεccι πάθηcι
cήμερον· ὕcτερον αὖτε τὰ πείcεται ἅccά οἱ αἶcα
γεινομένῳ ἐπένηcε λίνῳ, ὅτε μιν τέκε μήτηρ.

---

V. ʟ. 105 δέ cε φαcὶ CGHL. δὲ cὲ φαcὶ ADE. — 106 ἐcτιν CDHL. ἐcτίν AG. ἔcτιν E. — 107 ἣ μὲν C. ἔcθ᾽ ADE: ceteri ἐcθ᾽. ἥδ᾽ CGL. — 108 μὴ δέ CHL Et. Mg. 139, 25. — 110 ὡc A. — 111 δια A. — 113 ἐλθὼν pro ἰὼν H. ἀναουλαμὸν D. — 114 ἣ δ᾽ D. ἥδ᾽ CGHL. καλέcαcα ACDGHLS Syr. et Heynii omnes. μετα CDH Syr. ἔειπε ACDGH Syr. — 115 ποcίδαον A Syr. ποcείδ A in marg. ποcειδάων L Cant. Harl. — 116 ἡμετέρηcιν E. — 119 ἀποτροπῶμεν G. ἀποτροπόωμεν S Cant. — η 120 εἴ τιc S. εἴτιc Cant. Vat. ἀχιλλῆϊ D. — 121 παρcταίηι A. μὴ δέ CL. — 123 οἳ δ᾽ D. οἵδ᾽ CGL. τοπάροc DL. ΠΕΡ᾽ Syr. — 124 τρῳcὶν L. ἀμύνουcι D Lips. — 126 τῆc δὲ G. πάθηcι ACDEG. ΠΑΘΗϹΙ Syr. πάθη τε Lips. ἵνα μὴ — cήμερον (127) omitt. L. — 127 ἅccά οἱ CDG. ὅccά L. — 128 γεινομένῳ libri, Bachm. Anecd. II, 107, 16. Euseb. Praep. Ev. VI, 8, 2; 5. Plutarchus Consol. ad Apoll. 31. γεινομένου Schol. Theocr. I, 129. conf. K 71. Ψ 79. Ω 210. δ 208. η 198.

---

V. ʟ. 105 δὲ cέ Ptolem. Ascalonita. — 114 ἀρίcταρχοc ἄμυδιc cτήcαcα Didymus. Zenodotus ἣ δ᾽ ἄμυδιc καλέcαcα θεοὺc ῥεῖα ζώονταc teste Didymo et Aristonico. ἣ δ᾽ Aristarchus et Herodianus. ἄμυδιc Herodianus, ψιλῶc. — 125–128 ἀθετοῦνται cτίχοι τέccαρεc Aristonicus. — 128 asteriscus; ὀρθῶc Ω 210.

εἰ δ' Ἀχιλεὺϲ οὐ ταῦτα θεῶν ἐκ πεύϲεται ὀμφῆϲ,
δείϲετ' ἔπειθ', ὅτε κέν τιϲ ἐναντίβιον θεὸϲ ἔλθῃ
ἐν πολέμῳ· χαλεποὶ δὲ θεοὶ φαίνεϲθαι ἐναργεῖϲ.
τὴν δ' ἠμείβετ' ἔπειτα Ποϲειδάων ἐνοϲίχθων·
Ἥρη, μὴ χαλέπαινε παρὲκ νόον· οὐδέ τί ϲε χρή.
οὐκ ἂν ἐγώ γ' ἐθέλοιμι θεοὺϲ ἔριδι ξυνελάϲϲαι
[ἡμέαϲ τοὺϲ ἄλλουϲ, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰμεν]·
ἀλλ' ἡμεῖϲ μὲν ἔπειτα καθεζώμεϲθα κιόντεϲ
ἐκ πάτου ἐϲ ϲκοπιήν, πόλεμοϲ δ' ἄνδρεϲϲι μελήϲει.
εἰ δέ κ' Ἄρηϲ ἄρχωϲι μάχηϲ ἢ Φοῖβοϲ Ἀπόλλων,
ἢ Ἀχιλῆ' ἴϲχωϲι καὶ οὐκ εἰῶϲι μάχεϲθαι,
αὐτίκ' ἔπειτα καὶ ἄμμι παρ' αὐτόφι νεῖκοϲ ὀρεῖται
φυλόπιδοϲ· μάλα δ' ὦκα διακρινθένταϲ ὀίω
ἂψ ἴμεν Οὔλυμπον δὲ θεῶν μεθ' ὁμήγυριν ἄλλων,
ἡμετέρηϲ ὑπὸ χερϲὶν ἀναγκαίηφι δαμένταϲ.
ὣϲ ἄρα φωνήϲαϲ ἡγήϲατο κυανοχαίτηϲ
τεῖχοϲ ἐϲ ἀμφίχυτον Ἡρακλῆοϲ θείοιο,
ὑψηλόν, τό ῥά οἱ Τρῶεϲ καὶ Παλλὰϲ Ἀθήνη
ποίεον, ὄφρα τὸ κῆτοϲ ὑπεκπροφυγὼν ἀλέαιτο,

---

V. L. 130 ἔλθοι L Lips. — 131 χαλεπὸν D. φαίνεϲθ' C. — 132 ποϲιδάων A Syr. — 133 πάρεκ G Flor. παρεκ CDL. παρέκνοον S Cant. οὐδέ τι ϲε ACDGL. οὐδέ τέ ϲε E. — 134 ξυνελάϲαι Vrat. A. edd. vett. — 135 omitt. CD in textu EL Vat. Townl. Vrat. b. d. Lips. in t. Cant. in t. Harl. in t.: habent AGHS Syr. Mor. Barocc. Mosc. 2. Flor. et in margine D Lips. Cant. Harl. in G et Flor. adscriptum est νόθοϲ. ἐπειῆ A. ЄΠЄÌΗ Syr. ἦμεν edd. εἶμεν Barocc. — 136 καθεζώμεθα EG. — 137 ἐϲκοπιήν (ϲ supra) L. — 138 ἠδέ κ' L. ἄρχωϲι CDEHS Syr. Rom. Herodianus περὶ ϲχημάτων 61, 13 ed. Dind. Lesbonax π. ϲχημ. 180. Schol. Theocr. VI, 1. Schol. Є 162. 774. C 514. Rhet. Gr. III, 101, 27. Eust. 1160, 2. ἄρχωιϲι A. ἄρχηϲι A in marg. LS Cant. Harl. Flor. Tzetzes Alleg. 330. ἠ: ἰδὲ S Cant. — 139 ἀχιλῆ D. — 140 παραυτόφι AD. παρ' αὐτόθι C. ὄρηται ἢ ὀρεῖται E. libri ὀρεῖται cum Et. Mg. 633, 13. γράφεται καὶ ἐτύχθη Paris. — 141 διακριθένταϲ CDL Cant. Mor. Lips. Rom. Eust. 1200, 48; sed 1200, 56 διακρινθήμεναι ὀΐω. — 142 οὔλυμπον δὲ AD. — 143 ὕπο A. ἀνάγκῃ ἶφι ACDGLS Syr. ἀνάγκηϲ ἶφι Harl. ἀνάγκῃ ἦφι Flor. ἶφι E, omisso ἀνάγκῃ. γρ. ἀναγκαίηφι A, ita H Vrat. d. δαμέντεϲ D. — 144 κυανοχαίτηϲ A. — 145 ἡρακλεῖοϲ L. — 146 τρῷεϲ L. — 147 ἀλέαιτο AHLS Syr. Lips. Vat. ἀλέοιτο DG edd. vett. Schol. Pind. Nem. I, 96. Plutarchus Plat. Quaest. 3, 4. ἀλέϲαιτο ἢ ἀλέοιτο Eust. ἀλέηται Barocc. Mor. ἀλέᾳτο C.

---

A. c. 138 ἀρίϲταρχοϲ προκρίνει τὴν διὰ τοῦ ω γραφήν· γράφεϲθαι δέ φηϲι καὶ διὰ τοῦ η ἄρχηϲι Didymus. ἄρχηϲι Zenodotus. τινὲϲ δὲ γράφουϲιν ἄρχηϲι Eust. 1200, 55. ἢ Φοῖβοϲ Ἀπόλλων· οὕτωϲ Ἀρίϲταρχοϲ. γράφεται εἰ δέ κεν ὣϲ ἄρχωϲιν Ἄρηϲ καὶ Φοῖβοϲ Ἀπόλλων Schol. V.

ὁππότε μιν ϲεύαιτο ἀπ' ἠιόνοϲ πεδίον δέ.
ἔνθα Ποϲειδάων κατ' ἄρ' ἕζετο καὶ θεοὶ ἄλλοι,
ἀμφὶ δ' ἄρ' ἄῤῥηκτον νεφέλην ὤμοιϲιν ἕϲαντο·
οἳ δ' ἑτέρωϲε καθῖζον ἐπ' ὀφρύϲι Καλλικολώνηϲ
ἀμφὶ ϲὲ ἤϊε Φοῖβε καὶ Ἄρηα πτολίπορθον.
ὣϲ οἳ μέν ῥ' ἑκάτερθε καθείατο μητιόωντεϲ
βουλάϲ· ἀρχέμεναι δὲ δυϲηλεγέοϲ πολέμοιο
ὤκνεον ἀμφότηροι, Ζεὺϲ δ' ἥμενοϲ ὕψι κέλευε.
τῶν δ' ἅπαν ἐπλήϲθη πεδίον, καὶ λάμπετο χαλκῷ,
ἀνδρῶν ἠδ' ἵππων· κάρκαιρε δὲ γαῖα πόδεϲϲιν
ὀρνυμένων ἄμυδιϲ. δύο δ' ἀνέρεϲ ἔξοχ' ἄριϲτοι
ἐϲ μέϲον ἀμφοτέρων ϲυνίτην μεμαῶτε μάχεϲθαι,
Αἰνείαϲ τ' Ἀγχιϲιάδηϲ καὶ δῖοϲ Ἀχιλλεύϲ.
Αἰνείαϲ δὲ πρῶτοϲ ἀπειλήϲαϲ ἐβεβήκει,
νευϲτάζων κόρυθι βριαρῇ· ἀτὰρ ἀϲπίδα θοῦριν
πρόϲθεν ἔχε ϲτέρνοιο, τίναϲϲε δὲ χάλκεον ἔγχοϲ.
Πηλείδηϲ δ' ἑτέρωθεν ἐναντίον ὦρτο λέων ὥϲ,
ϲίντηϲ, ὅν τε καὶ ἄνδρεϲ ἀποκτάμεναι μεμάαϲιν
ἀγρόμενοι πᾶϲ δῆμοϲ· ὃ δὲ πρῶτον μὲν ἀτίζων
ἔρχεται, ἀλλ' ὅτε κέν τιϲ ἀρηιθόων αἰζηῶν

---

V. L. 148 ϲεύετο D. ϲεύατο Vat. ϲεύοιτο Harl. Vrat. A. πεδίον δέ
A. — 149 ποϲιδάων A Syr. ἀρ A. ἂρ GL. καταρέζετο CD. ΚΑΤΑΡΕΖΕΤΟ
Syr. — 150 ἀμφι D. ἂρ ADGL. πάντεϲ δὲ ἄῤῥηκτον E. — 151 οἵδ' CGL.
κάθιζον CDEGL. ἑτέρωϲ ἐκάθιζον Schol. Υ 53. καλλικολώνηϲ AC. —
152 ἀμφι A. — 153 ὡϲ AD 1. man. μέν ῥ' ἀπάνευθε S Cant. Vrat. d.
καθήατο LS Barocc. Mor. Lips. — 155 ὄκνεον Townl. κέλευε ACDGL
Syr. — 156 καὶ ἐλάμπετο ACDEGLS. ΕΛΑΜΠ . . . Syr. — 158 δύω C.
δύω D. γράφεται καὶ ἄμυδιϲ δὲ δύ' ἀνέρεϲ Paris. — 159 ἀμφοτέρω G.
— 160 versus, quem omitt. Barocc., in Syr. et Cant. ante 159 est collo-
catus. τ' omitt. L. ἀχϊλεύϲ C. δῖοϲ ὀδυϲϲεύϲ D. — 162 κόρυθα βριαρήν
Zonar. Lex. 1409. ΑΤΑΡ' Syr. αὐτὰρ C. — 163 γραφεταὶ καὶ τινάϲϲων
Paris. — 164 ὡϲ A. — 165 μεμάαϲι D. — 166 ἀγρόμενοϲ Eust. 28, 46.
ὁ δὲ κρειῶν (κρεῖον Lips.) ἐρατίζων L Lips. — 167 ἀρκιθόων G.

---

A. c. 152 ἤϊε Aristarchus: ἦϊε Crates et Herodianus, cf. H. T. 274. — 155 κατ' ἔνια διὰ τοῦ ō ὄκνεον Didymus. — 156 ἀρίϲταρχοϲ ἰακῶϲ λάμπετω Didymus, conf. Ζ 319. Θ 494. Ξ 35. Ψ 163. δ 659. Β 510. Ν 260. sed plerumque in hac sede post καὶ augmentum non solet omitti, conf. Λ 106. Ν 609. Ψ 617. Ω 571. β 106. ζ 9. 10. η 61. ν 206. ρ 367. 412. τ 151. ω 141. 444. H. U. 86. — 166 ἀγρόμενοι Aristarchus.

δουρὶ βάλῃ, ἐάλη τε χανών, περί τ᾽ ἀφρὸϲ ὀδόνταϲ
γίγνεται, ἐν δέ τέ οἱ κραδίῃ ϲτένει ἄλκιμον ἦτορ,
οὐρῇ δὲ πλευράϲ τε καὶ ἰϲχία ἀμφοτέρωθεν
μαϲτίεται, ἑὲ δ᾽ αὐτὸν ἐποτρύνει μαχέϲαϲθαι,
γλαυκιόων δ᾽ ἰθὺϲ φέρεται μένει, ἤν τινα πέφνῃ
ἀνδρῶν, ἢ αὐτὸϲ φθίεται πρώτῳ ἐν ὁμίλῳ·
ὣϲ Ἀχιλῆ᾽ ὤτρυνε μένοϲ καὶ θυμὸϲ ἀγήνωρ
ἀντίον ἐλθέμεναι μεγαλήτοροϲ Αἰνείαο.
οἳ δ᾽ ὅτε δὴ ϲχεδὸν ἦϲαν ἐπ᾽ ἀλλήλοιϲιν ἰόντεϲ,
τὸν πρότεροϲ προϲέειπε ποδάρκηϲ δῖοϲ Ἀχιλλεύϲ·
Αἰνεία, τί ϲὺ τόϲϲον ὁμίλου πολλὸν ἐπελθὼν
ἔϲτηϲ; ἦ ϲέ γε θυμὸϲ ἐμοὶ μαχέϲαϲθαι ἀνώγει
ἐλπόμενον Τρώεϲϲιν ἀνάξειν ἱπποδάμοιϲι
τιμῆϲ τῆϲ Πριάμου; ἀτὰρ εἴ κεν ἔμ᾽ ἐξεναρίξῃϲ,
οὔ τοι τοὔνεκά γε Πρίαμοϲ γέραϲ ἐν χερὶ θήϲει·
εἰϲὶν γάρ οἱ παῖδεϲ, ὃ δ᾽ ἔμπεδοϲ οὐδ᾽ ἀεϲίφρων.
ἦ νύ τί τοι Τρῶεϲ τέμενοϲ τάμον ἔξοχον ἄλλων,
καλὸν φυταλιῆϲ καὶ ἀρούρηϲ, ὄφρα νέμηαι,
αἴ κεν ἐμὲ κτείνῃϲ; χαλεπῶϲ δέ ϲ᾽ ἔολπα τὸ ῥέξειν.

---

V. L. 168 ἑάλη G. ἐάλη τὲ C. — 169 γίγνεται L Syr. γίνεται AC DEGH Lips. Rom. ἔν δέ τε A. ΟΒΡΙΜΟΝΗ̃ΤΟΡ᾽ Syr. — 170 οὐρὴ τὲ L. πλευρὰϲ καὶ L Cram. An. Ox. III, 111, 22. ἰϲχίον Rhet. Gr. I, 264, 27. — 171 μαϲτίεται αἰὲ δ᾽ αὐτὸν D. μαϲτίετ᾽ αἰὲν δ᾽ S Cant. αἰεὶ δ᾽ Vrat. A. ἓε L Et. Mg. 66. 6. 642, 6. Apollon. de Pron. 58 B.· 103 A. 107 A. Cram. Ep. 301, 26. αἰεὶ δ᾽ αὑτὸν Schol. Nicand. Ther. 123. ἐπὶ δ᾽ αὐτὸν Cram. An. Ox. III, 111, 23. μαχέεϲθαι CL Lips. Harl. Barocc. μάχεϲθαι S. ἐποτρύνει καὶ ἀνώγει Bachm. Anecd. II, 70, 5. — 174 ὡϲ AD 1. man. ἀχιλῆ D Schol. O 339. — 176 οἵδ᾽ CGL. — 177 ἀχῖλεύϲ C. — 178 τί ϲυ A. τί νυ Lips. τόϲον G. ἀπελθὼν L Harl. Vat. ἐπελθὼν (α) A. — 179 ἢ CEGL. μάχεϲθαι S. — 180 τρῴεϲϲιν L. ἱπποδάμοιϲι CD. ἱπποδάμοιϲι A. — 181 εἴ περ E. εἴ κεν μ᾽ ἐξεναρίζῃϲ Vrat. A. ἐξεναρίξειϲ ES Cant. Barocc. Mor. — 182 τοὔνεκά ϲε L. χειρὶ C. χερϲὶ DEG Vrat. A. Flor. Rom. — 183 εἰϲὶν ACLS Cant. Mor. Barocc. Vat. Lips. Townl. εἰϲὶ DEGH edd. vett. γὰρ οἳ H. ὃ δ᾽ D. ὅδ᾽ CGH Vrat. A. ἀεϲϲῖφρων C. — 184 ἤ E. νύ τι τοι ACG. νύ τι ϲοι L. τρῷεϲ L. — 185 καλὸν: ἐϲθλὸν AC Barocc. Mor. γρ. καλὸν A. — 186 κτείνειϲ D. τὸ ῥέξαι H (αι 2. man.). τόδ᾽ ἔρδειν L. τόδ᾽ ἔρξειν Barocc. τόδε ῥέξειν Lips.

---

A. c. 170 γρ. ἀμφοτέρωϲε ἔν τιϲιν οὐ φαυλῶϲ Didymus. — 174 Ἀχιλῆ᾽: alii Ἀχιλῆ, conf. Schol. O 339. — 180—186 ἀθετοῦνται Aristonicus.

ἤδη μὲν cέ γέ φημι καὶ ἄλλοτε δουρὶ φοβῆcαι.
ἦ οὐ μέμνῃ, ὅτε πέρ cε βοῶν ἄπο μοῦνον ἐόντα
cεῦα κατ' Ἰδαίων ὀρέων ταχέεcci πόδεcci
καρπαλίμωc; τότε δ' οὔ τι μετατροπαλίζεο φεύγων.
ἔνθεν δ' ἐc Λυρνηccὸν ὑπέκφυγεc· αὐτὰρ ἐγὼ τὴν
πέρcα μεθορμηθεὶc cὺν Ἀθήνῃ καὶ Διὶ πατρί,
ληιάδαc δὲ γυναῖκαc ἐλεύθερον ἦμαρ ἀπούραc
ἦγον· ἀτὰρ cὲ Ζεὺc ἐῤῥύcατο καὶ θεοὶ ἄλλοι.
ἀλλ' οὐ νῦν cε ῥύεcθαι ὀίομαι, ὡc ἐνὶ θυμῷ
βάλλεαι· ἀλλά c' ἐγώ γ' ἀναχωρήcαντα κελεύω
ἐc πληθὺν ἰέναι, μὴ δ' ἀντίοc ἵcταc' ἐμεῖο,
πρίν τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιοc ἔγνω.
τὸν δ' αὖτ' Αἰνείαc ἀπαμείβετο φώνηcέν τε·
Πηλείδη, μὴ δή μ' ἐπέεccί γε νηπύτιον ὣc
ἔλπεο δειδίξεcθαι, ἐπεὶ cάφα οἶδα καὶ αὐτὸc
ἠμὲν κερτομίαc ἠδ' αἴcυλα μυθήcαcθαι.
ἴδμεν δ' ἀλλήλων γενεήν, ἴδμεν δὲ τοκῆαc,
πρόκλυτ' ἀκούοντεc ἔπεα θνητῶν ἀνθρώπων·
ὄψει δ' οὔτ' ἄρ πω cὺ ἐμοὺc ἴδεc οὔτ' ἄρ' ἐγὼ cούc·
φαcὶ cὲ μὲν Πηλῆοc ἀμύμονοc ἔκγονον εἶναι,
μητρὸc δ' ἐκ Θέτιδοc καλλιπλοκάμου ἁλοcύδνηc·
αὐτὰρ ἐγὼν υἱὸc μεγαλήτοροc Ἀγχίcαο

V. L. 187 μέν cέ γε φημὶ AH. μέν cε γε φημὶ C. 2. man. (1. man. omitt. γε) L. φημὴ G. vulgo μὲν cέ γε φημὶ. φοβῆcαι DHLS Cant. Harl. Vat. Lips. Mosc. 2. Vrat. d. A. φόβηcα ACE bis G edd. vett. — 188 ἢ CDEGHL. ὅτϊ H. ἀπὸ L. — 189 πόδεcci ACDEG Strabo XIII, 607. πόδεcι H. — 190 τότε δ': πρὶν δ' Et. Mg. 345, 36. Et. Or. 62. 28. μετετροπαλίζεο CDGS Cant. Harl. Mosc. 2. Flor. hunc versum omittit Strabo XIII, 607. — 191 ἔνθεν: κεῖθεν Strabo l. l. λυρνηcὸν L Lips.
c
λυρνηcὸν C. — 193 ἧμαρ D. — 194 ἐῤῥύcατο omnes, conf. ad B 859. — 195 cε ῥύεcθαι ACEGHL Barocc. Harl. Townl. Vrat. A. c' ἐρύεcθ' D. νῦν ἐρύεcθαι S. ἐνι D. — 196 ἀναχορήcαντα G. κελεύω: κέλομαι E Rom. — 197 μὴ δ' CDHL. ἐμοῖο E ter Vrat. b. — 200 μ' omitt. S
α
Cant. ὡc A. — 201 δειδίξεcθαι A. — 202 ἢ μὲν A. ἤμὲν H. — 205 οὐ-
ϊ εc
τάρ D. οἶδαc C. ἂρ ἐγὼ ADEGHL. hunc versum omitt. Pseudoplut. 61, 35. — 206 πηλεῖοc G. εὔγονοc G. — 207 μητρόc τ' ACL Mor.

A. c. 188 ἡ ῥιανοῦ καὶ ἀριcτοφάνουc βοῶν ἔπι οὐκ ἀχαρίτωc Didymus. ἐν τῇ Χίᾳ δὲ βοῶν ἔπι Schol. AB. ἄπο Herodianus: alii ἀπὸ. — 195 cε ῥύεcθαι: οὕτωc ἀρίcταρχοc ἐρύεcθαι χωρὶc τοῦ cε Didymus. — 195—198 ἀθετοῦνται. asterisci; ὀρθῶc P 30—33. — 205—209 ἀθετοῦνται cτίχοι πέντε Aristonicus.

εὔχομαι ἐκγεγάμεν, μήτηρ δέ μοί ἐcτ' Ἀφροδίτη·
τῶν δὴ νῦν ἕτεροί γε φίλον παῖδα κλαύcονται
cήμερον· οὐ γάρ φημ' ἐπέεccί γε νηπυτίοιcιν
ὧδε διακρινθέντε μάχηc ἐξ ἀπονέεcθαι.
εἰ δ' ἐθέλειc, καὶ ταῦτα δαήμεναι, ὄφρ' ἐὺ εἰδῇc
ἡμετέρην γενεήν, πολλοὶ δέ μιν ἄνδρεc ἴcαcι·
Δάρδανον αὖ πρῶτον τέκετο νεφεληγερέτα Ζεύc,
κτίccε δὲ Δαρδανίην, ἐπεὶ οὔ πω Ἴλιοc ἱρὴ
ἐν πεδίῳ πεπόλιcτο, πόλιc μερόπων ἀνθρώπων,
ἀλλ' ἔθ' ὑπωρείαc ᾤκεον πολυπίδακοc Ἴδηc.
Δάρδανοc αὖ τέκεθ' υἱὸν Ἐριχθόνιον βαcιλῆα,
ὃc δὴ ἀφνειότατοc γένετο θνητῶν ἀνθρώπων·
τοῦ τριcχίλιαι ἵπποι ἕλοc κάτα βουκολέοντο
θήλειαι, πώλοιcιν ἀγαλλόμεναι ἀταλῇcι.
τάων καὶ βορέηc ἠράccατο βοcκομενάων,
ἵππῳ δ' εἰcάμενοc παρελέξατο κυανοχαίτῃ·
αἳ δ' ὑποκυcάμεναι ἔτεκον δυοκαίδεκα πώλουc.

---

V. l. 209 δέ μοι ἔcτ' CGHL. — 210 ἔταροί γε CD. — 211 γὰρ φήμ' D. ἐπέεccί τε Barocc. — 212 διακριθέντε CEG Barocc. Rom. διακριθέντεc HL. διακρινθέντεc Lips. ἐξαπονέεcθαι ACDEGHLS. — 214 ἴcαcι D. — 215 αὖ: ἆρ LS Cant. Lips. Vrat. d. ἀ$^{ρ}$ῦ A. τέκετο: τέτοκεν Tzetzes Alleg. 378. νεφεληγερέτα A. — 216 κτίcε E Vrat. A. Flor. κτίζε G. — 218 ἀλλ' ἴθ' G. αἵ ῥά θ' ὑπωρείαc Apoll. Soph. 160, 16. ᾤκεον libri mei, Strabo XIII, 592. Apoll. Soph. ᾤκουν E Plato Legg. III, 681 E. πολυπίδακοc AL Mor. Harl. Lips. πολυπίδάκ$^{ου}$οc C (ου 2. man. add.): πολυπιδάκου DEGHS edd. vett. Apoll. Soph. 160, 16. Plato l. l. Strabo XIII, 592. Pseudoplut. 61, 41. γρ. πολυπιδάκου A. — 221 τριcχίλιοι Maximus Tyrius Diss. XXXIX, 1. κάτα ADG: καταβουκολέοντο CE HL Vrat. A. Mor. Rom. Max. Tyr. l. l. — 222 ἀταλῇcι ACDE. ἀταλῇcιν H. ἀταλοῖcιν L Barocc. Lips. Vrat. b. ἁπαλῇcι G. ἁπαλοῖcιν Vrat A. — 223 ἠρά$^{c}$cατο L. ἠράcατο Lips. ἠρήcατο S. — 224 huic subiunctus est in C man. rec. S in marg. versus ἐν μαλακῷ λειμῶνι καὶ ἄνθεcιν εἰαρινοῖcιν, quem codd. Cant. Harlei. post 223 habent. — 225 αἳ δ' ADH. αἴδ' CGL. ὑποκυccάμενοι CGLS Lips. edd. vett. ὑποκυcάμενοι ADEH. δύοκαίδεκα A. δυοκαίδεκα CL.

---

A. c. 213 εἰ δ' ἐθέλειc, καὶ ταῦτα δαήμεναι Aristarchus (ἀπαρέμφατον ἀντὶ προcτακτικοῦ Aristonicus), vide Nicanorem ad Z 150. Aristarchus εἰδῇc: εἴδηc Tyrannio, conf. Schol. Z 150. α 174. — 218 πολυπίδακοc Aristarchus, cf. H. T. 343. — 221 κάτα Herodianus. — 224 τινὲc γράφουcιν „ἵππῳ δ' εἰcάμενοc ἐμίγη φιλότητι καὶ εὐνῇ" Schol. A. altera scriptura est Aristarchi. — 225 δυοκαίδεκα: δύο καὶ δέκα Pamphilus, conf. H. T. 228.

αἳ δ' ὅτε μὲν ϲκιρτῷεν ἐπὶ ζείδωρον ἄρουραν,
ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέον οὐδὲ κατέκλων·
ἀλλ' ὅτε δὴ ϲκιρτῷεν ἐπ' εὐρέα νῶτα θαλάϲϲηϲ,
ἄκρον ἔπι ῥηγμῖνοϲ ἁλὸϲ πολιοῖο θέεϲκον.
Τρῶα δ' Ἐριχθόνιοϲ τέκετο Τρώεϲϲιν ἄνακτα·
Τρωὸϲ δ' αὖ τρεῖϲ παῖδεϲ ἀμύμονεϲ ἐξεγένοντο,
Ἶλόϲ τ' Ἀϲϲάρακόϲ τε καὶ ἀντίθεοϲ Γανυμήδηϲ,
ὃϲ δὴ κάλλιϲτοϲ γένετο θνητῶν ἀνθρώπων·
τὸν καὶ ἀνηρείψαντο θεοὶ Διὶ οἰνοχοεύειν
κάλλεοϲ εἵνεκα οἷο, ἵν' ἀθανάτοιϲι μετείη.
Ἶλοϲ δ' αὖ τέκεθ' υἱὸν ἀμύμονα Λαομέδοντα,
Λαομέδων δ' ἄρα Τιθωνὸν τέκετο Πρίαμόν τε
Λάμπόν τε Κλυτίον θ' Ἱκετάονά τ', ὄζον Ἄρηοϲ.
Ἀϲϲάρακοϲ δὲ Κάπυν, ὃ δ' ἄρ' Ἀγχίϲην τέκε παῖδα·
αὐτὰρ ἔμ' Ἀγχίϲηϲ, Πρίαμοϲ δ' ἔτεχ' Ἕκτορα δῖον.
ταύτηϲ τοι γενεῆϲ τε καὶ αἵματοϲ εὔχομαι εἶναι.
Ζεὺϲ δ' ἀρετὴν ἄνδρεϲϲιν ὀφέλλει τε μινύθει τε,
ὅππωϲ κεν ἐθέλῃϲιν· ὃ γὰρ κάρτιϲτοϲ ἁπάντων.
ἀλλ' ἄγε μηκέτι ταῦτα λεγώμεθα νηπύτιοι ὥϲ,
ἑϲταότ' ἐν μέϲϲῃ ὑϲμίνῃ δηιοτῆτοϲ.
ἔϲτι γὰρ ἀμφοτέροιϲιν ὀνείδεα μυθήϲαϲθαι

---

V. l. 226 αἳ δ' D. αἴδ' CGHL. ἀλλ' ὅτε δὴ Rhet. Gr. III, 221, 25.
δη
ὅτε μὲν A. αἴδ' ὅτε δὴ Schol. Apoll. Rhod. I, 184. ἐπ' εὐρέα νῶτα θαλάϲϲηϲ D et in marg. man. rec. γράφεται καὶ ἐπὶ ζήδ ἄρουραν. — 227 καρπῶν S Flor. — 229 * ἔπι: libri ἐπὶ. — 230 τρῷα L. ἐριχθώνιοϲ D. τρῴεϲϲιν L. — 231 τρῳὸϲ L. τρωῒ Et. Gud. 537, 10. Cram. Ep. 404, 29. ἀμύμονεϲ ACDEGS edd. vett. Et. Gud. 537, 10. Cram. Ep. 404, 29: ἀμύμονοϲ HL Vrat. b. A. Mosc. 2. conf. Λ 692. Ξ 115. — 232 ἴλλοϲ GS Lips. Cant. Vrat. d. Flor. — 233 δὴ καὶ κάλλιϲτοϲ H. — 234 τὸν libri, Apollon. de Pron. 60 A. Schol. Apoll. Rhod. III, 114. ὃν καὶ Apoll. de Synt. 153, 1. Euseb. Praep. Ev. VIII, 14, 7. ἀνηρείψαντο A. — 235 οὕνεκα E. μετείῃ G. — 236 ἴλλοϲ GS Lips. Cant. Vrat. d. Flor. — 238 λάμπόν τε A. κλύτιόν L. κλυτίον τ' Lips. — 239 ὃ δ' DL. ὅδ' CH. ἂρ ADEGHL. ἀγχίϲιν A. — 240 δὲ τέχ' Vrat. d. — 242 δ' ἄνδρεϲϲιν D. ἄνδρεϲιν Lips. — 243 ὅπωϲ E. ὃ ACDGHL Orionis Anthologignomicum V, 13 (ed. Meinecke. pg. 256). κράτιϲτοϲ DH. κ' ὄχ' ἄριϲτοϲ AC. ἐν ἄλλῳ ὁ γάρ κ' ὄχ' ἄριϲτοϲ ἁπάντων A ut in textu. — 244 ἀλλά γε DL.

---

A. c. 228 ἀρίϲταρχοϲ ἀλλ' ὅτε δέ, ἄλλοι δὲ ἀλλ' ὅτε δὴ διὰ τοῦ η̅ Didymus. — 234 κατ' ἔνια τὸν μὲν ἀνηρείψαντο Didymus. ἀνηρείψαντο Aristarchus: ἂν ἠρείψαντο Apollonius Theonis. — 235 asteriscus; οὐκ ὀρθῶϲ ο 251.

πολλὰ μάλ᾿· οὐδ᾿ ἂν νηῦϲ ἑκατόζυγοϲ ἄχθοϲ ἄροιτο.
ϲτρεπτὴ δὲ γλῶϲϲ᾿ ἐϲτὶ βροτῶν, πολέεϲ δ᾿ ἔνι μῦθοι
παντοῖοι, ἐπέων δὲ πολὺϲ νομὸϲ ἔνθα καὶ ἔνθα.
ὁπποῖόν κ᾿ εἴπηϲθα ἔποϲ, τοῖόν κ᾿ ἐπακούϲαιϲ.
ἀλλὰ τί ἢ ἔριδαϲ καὶ νείκεα νῶιν ἀνάγκη
νεικεῖν ἀλλήλοιϲιν ἐναντίον, ὥϲ τε γυναῖκαϲ,
αἵ τε χολωϲάμεναι ἔριδοϲ πέρι θυμοβόροιο
νεικεῦϲ᾿ ἀλλήλῃϲι μέϲην ἐϲ ἄγυιαν ἰοῦϲαι,
πόλλ᾿ ἐτεά τε καὶ οὐκί· χόλοϲ δέ τε καὶ τὰ κελεύει.
ἀλκῆϲ δ᾿ οὔ μ᾿ ἐπέεϲϲιν ἀποτρέψειϲ μεμαῶτα
πρὶν χαλκῷ μαχέϲαϲθαι ἐναντίον· ἀλλ᾿ ἄγε θᾶϲϲον
γευϲόμεθ᾿ ἀλλήλων χαλκήρεϲιν ἐγχείῃϲιν.
ἦ ῥα, καὶ ἐν δεινῷ ϲάκει ἤλαϲεν ὄβριμον ἔγχοϲ,
ϲμερδαλέῳ· μέγα δ᾿ ἀμφὶ ϲάκοϲ μύκε δουρὸϲ ἀκωκῇ.

---

V. L. 247 οὐδ᾿ αὖ D. ἑκατόζυγοϲ A. ἑκατόζυγοϲ CDEGHS Townl. Vrat. d. A. Flor. Rom. ἑκατόνζυγοϲ L Lips. Schol. Pind. Pyth. IV, 501. ἄροιτεο G. — 248 τρεπτὴ H Vrat. d. δέ τε γλῶϲϲ᾿ D. ἐνι D. ἐνὶ Pseudoplut. 151, 51. — 250 ὁποῖον EL Lips. ἐπακούϲῃϲ Pseudoplut. 151, 51. Eust. 1312, 43. — 251 τί ἤ A. τιὴ E: κατὰ δέ τινα τῶν ἀντιγράφων γράφεται ἀλλὰ τίη Eust. 1206, 57. καὶ νείκεα: ἐν ἄλλῳ καὶ ὀνείδεα A. ἀνάγκη AG. — 252 γυναῖκεϲ Vrat. A. — 253 περὶ EL. περι D. θυμοβόροιο C. — 254 ἀγυιὰν CL. — 255 πόλλ᾿ ἐτεά τε καὶ οὐκί A in marg. C post ras. DEGHLS et Heynii libri. πολλὰ τά τε καὶ οὐκὶ A Ven. B et fortasse C 1. man. χόλοϲ δὲ καὶ C. κατακελεύει D pro καὶ τὰ κελεύει. — 256 ἐπέεϲϲι μεταϲτρέψειϲ AC. γρ. ἀποϲτρέψειϲ A, ita E Cant. Vat. Mosc. 2. ἀποτρέψῃϲ Vrat. A. ἀποτρέψειϲ μεμαῶτα ἐπέεϲϲιν D. — 257 μαχέεϲθαι Harl. ἀλλά γε D. θάϲϲον G. — 259 ῥὰ CDGHL. δινῶι A. ἤλαϲε χάλκεον DL Lips. edd. vett. ἤλαϲεν ὄβριμον AEGHS Cant. Mor. Harl. Vrat. A. Mosc. 2. ὄμβριμον C Cram. An. Par. III, 26, 32. — 260 ϲμερδαλέον G Cant. Vrat. A. Flor. ϲμερδαλέῳ (ον) H. ϲμαρδαλέον S. ἀμφι D. μῦκε G. ἀκωκὴ EGLS.

---

A. c. 251—255 ἀθετοῦνται Aristonicus. — 251 τί ἤ: ὁ ῆ τῷ μὲν τί ὑποταϲϲόμενοϲ ὀξύνεται, τῷ δὲ ἐπεί περιϲπᾶται Cram. An. Par. III, 291, 8. conf. Schol. A. — 255 πολλὰ τά τε καὶ οὐκί: οὕτωϲ ἀρίϲταρχοϲ. ἄλλοι δὲ πολλά τ᾿ε εόντα ταδ᾿ οὐκί (sic) Didymus. οὕτωϲ Ἀρίϲταρχοϲ πολλὰ τά τε καὶ οὐκί, τά τε ταῖϲ ἀληθείαιϲ ὄντα καὶ μή. τὰ δὲ φαυλότερα τῶν ἀντιγράφων „ἐτεά“ ἔχει, τουτέϲτιν ἀληθῆ Schol. A. τὰ δὲ εἰκαιότερα τῶν ἀντιγράφων πόλλ᾿ ἔτεά τοι Cram. An. Par. III, 291, 10. ἐν δὲ τῷ πολλὰ „ἐτεά τε καὶ οὐκί“ γράφουϲιν οἱ παλαιοί, ὅτι τὰ τῶν ἀντιγράφων εἰκαιότερα ἔχουϲι τὴν τοιαύτην γραφήν, τὰ δὲ ἀκριβέϲτερα οὐχ οὕτωϲ, ἀλλ᾿ ὅτι „πολλά τε ὄντα καὶ οὐκί“, ὅ ἐϲτι πολλὰ ἀληθῆ καὶ ψευδῆ Eust. 1206, 64. πολλά τε ὄντα καὶ οὐκί: οὕτωϲ αἱ Ἀριϲτάρχου, ἀντὶ τοῦ τά τε τῆϲ ἀληθείαϲ ὄντα καὶ οὔ Schol. V, cui fides est nulla. — 259 δεινῷ ϲάκεϊ ἔλαϲ᾿ Aristarchus teste Didymo. conf. Cram. An. Par. III, 291, 11. Eust. 1207, 7.

Πηλείδηϲ δὲ ϲάκοϲ μὲν ἀπὸ ἕο χειρὶ παχείῃ
ἔϲχετο ταρβήϲαϲ· φάτο γὰρ δολιχόϲκιον ἔγχοϲ
ῥέα διελεύϲεϲθαι μεγαλήτοροϲ Αἰνείαο,
νήπιοϲ, οὐδ' ἐνόηϲε κατὰ φρένα καὶ κατὰ θυμόν,
ὡϲ οὐ ῥηΐδι' ἐϲτὶ θεῶν ἐρικυδέα δῶρα
ἀνδράϲι γε θνητοῖϲι δαμήμεναι οὐδ' ὑποείκειν.
οὐδὲ τότ' Αἰνείαο δαΐφρονοϲ ὄβριμον ἔγχοϲ
ῥῆξε ϲάκοϲ· χρυϲὸϲ γὰρ ἐρύκακε, δῶρα θεοῖο·
ἀλλὰ δύω μὲν ἔλαϲϲε διὰ πτύχαϲ, αἱ δ' ἄρ' ἔτι τρεῖϲ
ἦϲαν, ἐπεὶ πέντε πτύχαϲ ἤλαϲε κυλλοποδίων,
τὰϲ δύο χαλκείαϲ, δύο δ' ἔνδοθι καϲϲιτέροιο,
τὴν δὲ μίαν χρυϲέην· τῇ ῥ' ἔϲχετο μείλινον ἔγχοϲ.
δεύτεροϲ αὖτ' Ἀχιλεὺϲ προΐει δολιχόϲκιον ἔγχοϲ,
καὶ βάλεν Αἰνείαο κατ' ἀϲπίδα πάντοϲ' ἐίϲην,
ἄντυγ' ὕπο πρώτην, ᾗ λεπτότατοϲ θέε χαλκόϲ,
λεπτοτάτη δ' ἐπέην ῥινὸϲ βοόϲ· ἡ δὲ διὰ πρὸ
Πηλιὰϲ ἤιξεν μελίη, λάκε δ' ἀϲπὶϲ ὑπ' αὐτῆϲ.
Αἰνείαϲ δ' ἐάλη καὶ ἀπὸ ἕθεν ἀϲπίδ' ἀνέϲχε
δείϲαϲ· ἐγχείη δ' ἄρ' ὑπὲρ νώτου ἐνὶ γαίῃ
ἔϲτη ἱεμένη, διὰ δ' ἀμφοτέρουϲ ἕλε κύκλουϲ

V. L. 261 πηλείδηϲ μὲν ϲάκοϲ ἀπὸ ἕο D. — 262 δολιχόϲκιον A. — 263 ῥεῖα δ' ἐλεύϲεϲθαι ACDGH. ῥεῖα διελεύϲεϲθαι S Townl. Schol. Λ 439. ῥέα δι' ἐλεύϲεϲθαι Lips. ῥέα διελεύϲεϲθαι L. — 264 καταφρένα D. — 267 ὄμβριμον CHL Lips. — 269 δύο E bis S Lips. Schol. Φ 165. Cram. An. Par. III, 26, 35. ἔλαϲε E Vrat. A. δια AH. αἳ δ' D. αἵδ' CGH. ἂρ ADEG. αἲ γὰρ L. τινὲϲ γράφουϲι δύο μὲν θλάϲε (sic) Eust. 1208, 9. — 270 ἐπὶ G. — 272 χρυϲῆν ACDEGHL Schol. Δ 138. Υ 271. χρυϲέην Heyne. μείλινον ACEH Vrat. A. Mosc. 2. Rom. Porphyrius ad Υ 271. χάλκεον DGL cum aliis. Aristoteles Poët. 25. — 273 ἀχιλλεὺϲ D Rom. δολιχόϲκιον A. — 274 πάντοϲε ἴϲην DEGLS Lips. Vrat. A. πάντοϲε, ἴϲην A. — 275 ὑπὸ CDEGHL. ὑπο A. — 276 ἣ δὲ CG. διὰ πρὸ G Schol. Π 669. Υ 323. vulgo διαπρὸ, ita ACDEHL Rom. — 277 ἤϊξε DEGL 1. man. Lips. Flor. — 278 ἑάλη L. ἀπὸ: ὑπὸ Bekk. Anecd. 1146. ἀνέϲχε ACEGL. — 279 ἂρ ACDEGHL. ὑπερ A. ἐνι AD. — 280 ἵεμένη D. δια CDL.

A. c. 261 ἕο: ὅτι Ζηνόδοτοϲ γράφει ἀπὸ οὗ Aristonicus, conf. Apoll. de Pron. 97 A. de Synt. 163, 10. 164, 3. — 263 ἀρίϲταρχοϲ ἔξω τοῦ ῑ ῥέα Didymus, conf. N 144. — 265 δῶρα: ἔν τιϲιν ἔργα Schol. A. — 269 δύω μὲν θλάϲϲε Autochthon grammaticus teste Eust. 1207, 49. — 269—272 ἀθετοῦνται ϲτίχοι τέϲϲαρεϲ Aristonicus. προηθετοῦντο παρ' ἐνίοιϲ τῶν ϲοφιϲτῶν. ἐν ἐνίοιϲ δὲ οὐδὲ ἐφέροντο Schol. V. conf. Schol. Φ 165. 594. — 273 Ζηνόδοτοϲ μετεποίηϲεν „Ἀχιλεὺϲ μελίην ἰθυπτίωνα ἀϲπίδα νύξ' ἐϲ χαλκὸν ἀμύμονοϲ Αἰνείαο Aristonicus, conf. Schol. Townl. apud Cram. An. Par. III, 291, 14 Ζηνόδοτοϲ δεύτερον αὖτ' Ἀχιλεὺϲ μελίην ἰθυπτίονα ἔπειτα νύξε χαλκὸν ἀμύμονοϲ Αἰνείαο.

ἀσπίδος ἀμφιβρότης· ὁ δ' ἀλευάμενος δόρυ μακρὸν
ἔστη, κὰδ δ' ἄχος οἱ χύτο μύριον ὀφθαλμοῖσι,
ταρβήσας ὅ οἱ ἄγχι πάγη βέλος. αὐτὰρ Ἀχιλλεὺς
ἐμμεμαὼς ἐπόρουσεν ἐρυσσάμενος ξίφος ὀξύ,
σμερδαλέα ἰάχων· ὁ δὲ χερμάδιον λάβε χειρὶ
Αἰνείας, μέγα ἔργον, ὃ οὐ δύο γ' ἄνδρε φέροιεν,
οἷοι νῦν βροτοί εἰσ'· ὁ δέ μιν ῥέα πάλλε καὶ οἶος.
ἔνθά κεν Αἰνείας μὲν ἐπεσσύμενον βάλε πέτρῳ
ἢ κόρυθ' ἠὲ σάκος, τό οἱ ἤρκεσε λυγρὸν ὄλεθρον,
τὸν δέ κε Πηλείδης σχεδὸν ἄορι θυμὸν ἀπηύρα,
εἰ μὴ ἄρ' ὀξὺ νόησε Ποσειδάων ἐνοσίχθων.
αὐτίκα δ' ἀθανάτοισι θεοῖς μετὰ μῦθον ἔειπεν·
    ὢ πόποι, ἦ μοι ἄχος μεγαλήτορος Αἰνείαο,
ὃς τάχα Πηλείωνι δαμεὶς Ἄϊδος δὲ κάτεισι,
πειθόμενος μύθοισιν Ἀπόλλωνος ἑκάτοιο,
νήπιος, οὐδέ τί οἱ χραισμήσει λυγρὸν ὄλεθρον.
ἀλλὰ τί ἢ νῦν οὗτος ἀναίτιος ἄλγεα πάσχει,
μὰψ ἕνεκ' ἀλλοτρίων ἀχέων; κεχαρισμένα δ' αἰεὶ
δῶρα θεοῖσι δίδωσι, τοί οὐρανὸν εὐρὺν ἔχουσιν.
ἀλλ' ἄγεθ' ἡμεῖς πέρ μιν ὑπ' ἐκ θανάτου ἀγάγωμεν,
μή πως καὶ Κρονίδης κεχολώσεται, αἴ κεν Ἀχιλλεὺς
τόνδε κατακτείνῃ· μόριμον δέ οἵ ἐστ' ἀλέασθαι,
ὄφρα μὴ ἄσπερμος γενεὴ καὶ ἄφαντος ὄληται
Δαρδάνου, ὃν Κρονίδης περὶ πάντων φίλατο παίδων,
οἳ ἕθεν ἐξεγένοντο γυναικῶν τε θνητάων.

---

V. L. 281 δ῀δ' D. ὅδ' CGHL. — 282 καδδ' ACDGHL. οἶ L. ὀφθαλμοῖσι ACDG. — 283 οἳ οἱ ἄγχι G. ἀχῖλεὺς C. — 284 ἀπόρουσεν H Vrat. d. ἐρυσάμενος E. ξῦφος H. — 285 ὃ δὲ C. — 286 δύω ἄνδρε Barocc. ἄνδρες Lips. — 287 habet A in margine. νυν A. τῶν οἱ νῦν βροτοί εἰσι Pseudoplut. 115, 49. βροτοί εἰσὶ D. ὅδέ C. — 288 ἔνθά κεν ACDHL. ἐπεσσύμενος S ex corr. Cant. — 291 ἀρ A. ἄρ CDGHL. — 292 μετα C. κατα S. μετᾰ θέ ων ἔειπεν (sic) H. — 293 ὦ AD. ἤ μοι D. — 294 ἄϊδος δὲ AD. κάτεισι ACDEG. — 295 habet Cant. in margine. — 296 οὐδέ τι οἱ CGHL. οὐδέ τις οἱ S. — 297 τί ἠ A. τιὴ ἤ τίη Eust. — 299 ἔχουσι D Vrat. A. — 300 ὑπ' ἐκ ACDEGL. ὕπεκ H. — 301 εἴ κεν D. εἴ περ Mor. ἀχῖλεὺς C. — 302 μόριμον E Rom. μόρσιμον ACDGHLS Lips. Flor. cum libris Heynii. δέ οἱ ἔστ' CDGHL. δέ οἱ ἐστιν E. — 303 ὥς κε μὴ ἄσπερμος γενεὴ μετόπισθεν ὄληται Maximus Tyr. Diss. XXVI, 9. — 304 πέρι L. — 305 οἵ ἑθεν A. οἱ ἕθεν DH. οἳ ἕθεν CEL.

---

A. c. 282 κὰδ δ' ἀχλὺς χύτο Bentleius, conf. 321. Ε 696. Π 344. κὰδ δ' ἄρ' ἄχος χύτο Hermannus. — 303 ἄσπερμος γενεὴ καὶ ἄφαντος: ἄφαντος γενεὴ δμηθέντος Aristarchus.

ἤδη γὰρ Πριάμου γενεὴν ἤχθηρε Κρονίων·
νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεccιν ἀνάξει
καὶ παίδων παῖδεc, τοί κεν μετόπιcθε γένωνται.
τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπιc πότνια Ἥρη·
ἐννοcίγαι', αὐτὸc cὺ μετὰ φρεcὶ cῇcι νόηcον
Αἰνείαν, ἤ κέν μιν ἐρύccεαι, ἦ κεν ἐάcῃc
[Πηλεΐδῃ Ἀχιλῆι δαμήμεναι ἐcθλὸν ἐόντα].
ἦ τοι μὲν γὰρ νῶι πολέαc ὠμόccαμεν ὅρκουc
πᾶcι μετ' ἀθανάτοιcιν, ἐγὼ καὶ Παλλὰc Ἀθήνη,
μή ποτ' ἐπὶ Τρώεccιν ἀλεξήcειν κακὸν ἦμαρ,
μηδ' ὁπότ' ἂν Τροίη μαλερῷ πυρὶ πᾶcα δάηται
δαιομένη, δαίωcι δ' ἀρήιοι υἷεc Ἀχαιῶν.
αὐτὰρ ἐπεὶ τό γ' ἄκουcε Ποcειδάων ἐνοcίχθων,
βῆ ῥ' ἴμεν ἄν τε μάχην καὶ ἀνὰ κλόνον ἐγχειάων,
ἷξε δ' ὅθ' Αἰνείαc ἠδ' ὁ κλυτὸc ἦεν Ἀχιλλεύc.
αὐτίκα τῷ μὲν ἔπειτα κατ' ὀφθαλμῶν χέεν ἀχλὺν
Πηλεΐδῃ Ἀχιλῆι· ὃ δὲ μελίην εὔχαλκον
ἀcπίδοc ἐξέρυcεν μεγαλήτοροc Αἰνείαο·

---

V. L. 307 δὲ omitt. Et. Mg. 608, 53. Bekk. An. 769, 27. Cram. An. Ox. III, 356, 8. δὴ omitt. Et. Gud. 412, 38. βίῃ GL. τρῴεccιν L. — 308 παίδων παῖδεc ACD ex corr. E Syr. Mor. Barocc. Vrat. b. Mosc. 2. Strabo XIII, 608: παῖδεc παίδων D 1. man. GHLS Lips. Flor. Bekk. An. 769, 28. τοὶ καὶ μετόπιcθε Mosc. 2. μετόπιcθεν E. ΜΕΤΟΠΙCΘΕΛΙΠΩΝΤΑΙ Syr. μετόπιcθεν ἔcονται Bekk. An. 769, 28. — 309 ἥρηι D. — 310 μετα DH. φρεcῖ coicï H. — 311 εἴ κεν μιν Harl. ἐρύcεαι C. ἐάcειc ADEHS Syr. Lips. ἐάcηc (ει supra) C. ἐάcῃc GL Vrat. A. Mosc. 2. — 312 omittunt AC 1. man. DEHLS Syr. Lips. Mosc. 2. Vrat. b. habent GC 2. man. Vrat. d. in marg. — 313 ἤτοι libri. * πολέαc: πολεῖc ACDEG HLS Syr. ὠμόcαμεν G Flor. — 314 μεταθανάτοιcιν A. — 315 ἐπι D. τρῴεccιν L. — 316 μὴδ' CDGHL. ὁπότ' ἂν H 1. man. ὁπότ' αν A. ὁπόταν CDEGH ex corr. L. hunc et sequentem vers. omitt. Syr. sed videntur 2. man. in margine additi. — 317 δαιὸμένη· (κ supra) δαίωcι (κ supra) A. δαίουcι E bis. ἀρήϊοι H. — 318 ποcιδάων A et in marg. ποcείδ. ΠΟCΙΔΑΩΝ (ε supra) Syr. ε 2. man. add. — 319 βῆ δ' E. ἀνα D. — 320 ἶξε A. ἵξε CDGH. ἠδὲ κλυτὸc L Lips. ἀχϊλεύc C post ras. — 321 τὼ D. τωι C. ὀφθαλμὸν D. — 322 ὃ δὲ C. ἐΰχαλκον L, ceteri εὔχαλκον. — 323 ἐξέρυcε CD Syr. Flor. Rom.

---

A. c. 306 παρὰ ἀριcτοφάνει ἤχθαιρε Didymus. Aristarchus fortasse ἔχθηρε conf. Schol. P 270. — 307 τινὲc γράφουcιν Αἰνείαο γένοc πάντεccιν ἀνάξει Eust. 1209, 16. τινὲc δὲ γράφουcιν Αἰνείαο γένοc πάντεccιν ἀνάξει, καὶ παῖδεc παίδων, τοὺc Ῥωμαίουc λέγοντεc Strabo XIII, 608. μεταγράφουcί τινεc Αἰνείω γενεὴ πάντεccιν ἀνάξει Schol. AB. — 308 γένωνται: αἱ διὰ τῶν πόλεων λίπωνται εἶχον Didymus.

καὶ τὴν μὲν προπάροιθε ποδῶν Ἀχιλῆος ἔθηκεν,
Αἰνείαν δ' ἔσσευεν ἀπὸ χθονὸς ὑψόσ' ἀείρας.
πολλὰς δὲ στίχας ἡρώων, πολλὰς δὲ καὶ ἵππων
Αἰνείας ὑπερᾶλτο θεοῦ ἀπὸ χειρὸς ὀρούσας,
ἷξε δ' ἐπ' ἐσχατιὴν πολυάικος πολέμοιο,
ἔνθά τε Καύκωνες πόλεμον μέτα θωρήσσοντο.
τῷ δὲ μάλ' ἐγγύθεν ἦλθε Ποσειδάων ἐνοσίχθων,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Αἰνεία, τίς σ' ὧδε θεῶν ἀτέοντα κελεύει
ἀντία Πηλείωνος ὑπερθύμοιο μάχεσθαι,
ὃς σεῦ ἅμα κρείσσων καὶ φίλτερος ἀθανάτοισιν;
ἀλλ' ἀναχωρῆσαι, ὅτε κεν συμβλήσεαι αὐτῷ,
μὴ καὶ ὑπὲρ μοῖραν δόμον Ἄϊδος εἰσαφίκηαι.
αὐτὰρ ἐπεί κ' Ἀχιλεὺς θάνατον καὶ πότμον ἐπίσπῃ,
θαρσήσας δὴ ἔπειτα μετὰ πρώτοισι μάχεσθαι·
οὐ μὲν γάρ τίς σ' ἄλλος Ἀχαιῶν ἐξεναρίξει.
ὣς εἰπὼν λίπεν αὐτόθ', ἐπεὶ διεπέφραδε πάντα.

---

V. L. 324 προπάροιθεν E Lips. — 325 δ' ἔσσευεν ACDHS Syr. Barocc. Harl. Cant. Mor. Townl. Vrat. b. d. A. Mosc. 2. Eust. 1209, 49. ἔσευεν 1210, 45. δ' ἐπέσευεν G Flor. et olim vulgo. δαπέσσευεν L. ἄπο A. ὕψος Lips. — 327 ΥΠΕΡΑΛΤΟ Syr. ἄπὸ A. ἀπο G. — 328 ἵξε A. ἷξε DGH. — 329 ἔνθα δὲ CDL Syr. et olim vulgo. ἐνθάδε Cram. An. Par. III, 27, 5. ἔνθα κε S Cant. Harl. μέτα AH. μέγαν Cram. An. Par. III, 27, 5. μεταθωρήσσοντο CDGL Syr. conf. N 301. — 330 ΠΟΣΙΔΑΩΝ Syr. — 332 τίς ὧδε Apoll. Soph. 46, 4. ἀτέοντα ACDEHS Syr. χατέοντα L Lips. Mor. Harl. Barocc. θεῶν ἀέκητι G. γρ. ἀέκητι C man. rec. ἀέκοντα Cant. — 333 ἀντία πηλείωνος ὑπερθύμοιο μάχεσθαι AE Harl. Vrat. b. A. Mosc. 2. ἀντί' ἀχιλλῆος (ἀχιλῆος CDS) πολεμίζειν ἠδὲ μάχεσθαι CDGHLS Syr. editores ante Wolfium. ἐν ἄλλῳ ἀντὶ τοῦ (sic) ἀχιλῆος πολεμίζειν ἠδὲ μάχεσθαι A. — 335 ὅτε κεν: ὅτε δὴ CD. συμβλήσεαι AG. συμβλήσεται Lips. ξυμβλήσεαι CDEHL Townl. Vrat. A. Mosc. 2. συμβήσεαι S. ξυμβήσεαι Mor. — 336 ὑπερ AD. ἐξαφίκειε C 1. man. — 337 ἀχιλλεὺς EG Rom. — 338 θαῤῥήσας Harl. δ' ἤπειτα CDGHL Vrat. A. Lips. δ' ήπειτα A. δή' πειτα E. δήπειτα Vrat. b. d. ΔΗΠΕΙΤΑ Syr. „in codd. plerisque scriptum est δ' ἤπειτα, etiam in edd. excepta Romana, e qua defendit Barnes δὴ ̓πειτα" Heyne. μετὰ τρώεσσι Syr. Mor. Barocc. Townl. — 339 τῒς σ' C. σ' omitt. DHL Lips. Syr., in quo σ̄ man. rec. additum videtur. ἄλλων C. — 340 ὡς A.

---

A. c. 322—324 ἀθετοῦνται στίχοι τρεῖς Aristonicus. — 331 παρὰ Ζηνοδότῳ καί μιν νεικείων, παρὰ ῥιανῷ τὸν καὶ νεικείων Didymus, conf. Cram. An. Par. III, 291, 17. — 332 ἀτέοντα οὕτως ἐν πάσαις Didymus, conf. Apoll. Soph. 46, 4. Et. Mg. 168, 28. Schol. ABV. Eust. 1210, 60. — 334 σεῦ, non σευ, Herodianus.

αἶψα δ' ἔπειτ' Ἀχιλῆος ἀπ' ὀφθαλμῶν cκέδαc' ἀχλὺν
θεcπεcίην· ὃ δ' ἔπειτα μέγ' ἔξιδεν ὀφθαλμοῖcιν,
ὀχθήcαc δ' ἄρα εἶπε πρὸc ὃν μεγαλήτορα θυμόν·
ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖcιν ὁρῶμαι.
ἔγχοc μὲν τόδε κεῖται ἐπὶ χθονόc, οὐδέ τι φῶτα
λεύccω, τῷ ἐφέηκα κατακτάμεναι μενεαίνων.
ἦ ῥα καὶ Αἰνείαc φίλοc ἀθανάτοιcι θεοῖcιν
ἦεν· ἀτάρ μιν ἔφην μὰψ αὔτωc εὐχετάαcθαι.
ἐῤῥέτω· οὔ οἱ θυμὸc ἐμεῦ ἔτι πειρηθῆναι
ἔccεται, ὃc καὶ νῦν φύγεν ἄcμενοc ἐκ θανάτοιο.
ἀλλ' ἄγε δὴ Δαναοῖcι φιλοπτολέμοιcι κελεύcαc
τῶν ἄλλων Τρώων πειρήcομαι ἀντίοc ἐλθών.
ἦ, καὶ ἐπὶ cτίχαc ἆλτο, κέλευε δὲ φωτὶ ἑκάcτῳ·
μηκέτι νῦν Τρώων ἑκὰc ἕcτατε δῖοι Ἀχαιοί,
ἀλλ' ἄγ' ἀνὴρ ἄντ' ἀνδρὸc ἴτω, μεμάτω δὲ μάχεcθαι.
ἀργαλέον δέ μοί ἐcτι καὶ ἰφθίμῳ περ ἐόντι
τοccοῦcδ' ἀνθρώπουc ἐφέπειν καὶ πᾶcι μάχεcθαι·
οὐδέ κ' Ἄρηc, ὅc περ θεὸc ἄμβροτοc, οὐδέ κ' Ἀθήνη
τοccῆcδ' ὑcμίνηc ἐφέποι cτόμα καὶ πονέοιτο·
ἀλλ' ὅccον μὲν ἐγὼ δύναμαι χερcίν τε ποcίν τε
καὶ cθένει, οὔ μέ τί φημι μεθηcέμεν οὐδ' ἠβαιόν,
ἀλλὰ μάλα cτιχὸc εἶμι διαμπερέc, οὐδέ τιν' οἴω
Τρώων χαιρήcειν, ὅc τιc cχεδὸν ἔγχεοc ἔλθῃ.

V. ι. 341 ἀπ': ἐπ' H Lips. ЄCΚЄΔΑC' Syr. ἐκέδαc' A. — 342 ὃ δ' D. ὅδ' CGHL. — 344 ὦ A. Ω͂ Syr. ἢ D. — 345 ἐπι AD. χθονὶ Barocc. οὐδ' ἔτι Barocc. — 347 ἢ ῥὰ CDGHL. θεοῖcι CD Syr. — 348 αὔτωc EGH. ЄΥΧЄΤΑΑCΘЄ Syr. — 350 ὡc καὶ Harl. ἄcμενοc φύγεν ἐκ D. — 351 ἀλλά γε H. — 352 τρῴων L. ἀντία L. — 353 ἆλτο C. — 354 μὴ κέ τι AG. τρώιων CL. τρῶαc D. — 355 ἀλλά γ' H Vrat. d. A. ΑΝΗΡ' Syr. ἄ[α]ντ' A. — 356 δέ μοι ἐcτὶ ACDEGHL. — 357 τόccουcδ' ACD. τόccουc H Harl. Mor. Mosc. 2. Vrat. b. d. A. ἀνθρώπων Harl. — 358 ὥcπερ Tzetzes Alleg. 440. ἄβροτοc Mor. — 359 τόccηc δ' ACDGH Vrat. A. ΤΟCCΗC Syr. τόccηc Harl. Mor. Mosc. 2. Vrat. b. d. τοccῆc δ' EL. ἐφέποι τόγε vel τόδε L. — 360 ὅcον D. μὲν omitt. C. χερcί τε ποcί τε E. — 361 οὔ μ' ἔτι φημὶ ACDGHLS et Heynii libri. ΜЄ́ΤΙΦΗΜῚ Syr. μέ[κεν] τι φημὶ E Rom. — 362 ὀΐω DGL. — 363 τρῴων L. ὅc κεν L. ὅcτιc A. ὅcτϊc κεν C. ἔγχεοc: ἀντίοc L. ἔλθοι L Barocc. Vrat. b. A. Mosc. 2. ἔ[ο]λθηι A.

A. c. 357 τοccοῦcδ' Ptolem. Ascalonita: τόccουcδ' Aristarchus.

ὣϲ φάτ᾽ ἐποτρύνων· Τρώεϲϲι δὲ φαίδιμοϲ Ἕκτωρ
κέκλεθ᾽ ὁμοκλήϲαϲ, φάτο δ᾽ ἴμεναι ἄντ᾽ Ἀχιλῆοϲ·
Τρῶεϲ ὑπέρθυμοι, μὴ δείδιτε Πηλεΐωνα.
καί κεν ἐγὼν ἐπέεϲϲι καὶ ἀθανάτοιϲι μαχοίμην·
ἔγχεϊ δ᾽ ἀργαλέον, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰϲιν.
οὐδ᾽ Ἀχιλεὺϲ πάντεϲϲι τέλοϲ μύθοιϲ ἐπιθήϲει,
ἀλλὰ τὸ μὲν τελέει, τὸ δὲ καὶ μεϲϲηγὺ κολούει.
τοῦ δ᾽ ἐγὼ ἀντίοϲ εἶμι, καὶ εἰ πυρὶ χεῖραϲ ἔοικεν,
εἰ πυρὶ χεῖραϲ ἔοικε, μένοϲ δ᾽ αἴθωνι ϲιδήρῳ.
ὣϲ φάτ᾽ ἐποτρύνων, οἱ δ᾽ ἀντίοι ἔγχε᾽ ἄειραν
Τρῶεϲ· τῶν δ᾽ ἄμυδιϲ μίχθη μένοϲ, ὦρτο δ᾽ ἀυτή.
καὶ τότ᾽ ἄρ᾽ Ἕκτορα εἶπε παραϲτὰϲ Φοῖβοϲ Ἀπόλλων·
Ἕκτορ, μηκέτι πάμπαν Ἀχιλλῆι προμάχιζε,
ἀλλὰ κατὰ πληθύν τε καὶ ἐκ φλοίϲβοιο δέδεξο,
μή πώϲ ϲ᾽ ἠὲ βάλῃ ἠὲ ϲχεδὸν ἄορι τύψῃ.
ὣϲ ἔφαθ᾽, Ἕκτωρ δ᾽ αὖτιϲ ἐδύϲετο οὐλαμὸν ἀνδρῶν
ταρβήϲαϲ, ὅτ᾽ ἄκουϲε θεοῦ ὄπα φωνήϲαντοϲ.
ἐν δ᾽ Ἀχιλεὺϲ Τρώεϲϲι θόρε φρεϲὶν εἱμένοϲ ἀλκήν,
ϲμερδαλέα ἰάχων, πρῶτον δ᾽ ἕλεν Ἰφιτίωνα,
ἐϲθλὸν Ὀτρυντείδην, πολέων ἡγήτορα λαῶν,
ὃν νύμφη τέκε νηὶϲ Ὀτρυντῆι πτολιπόρθῳ·
Τμώλῳ ὕπο νιφόεντι, Ὕδηϲ ἐν πίονι δήμῳ.

V. L. 364 ὡϲ A. τρῴεϲϲι L. — 365 ἴμεναι CDEGHL post ras. S Syr. conf. ad Π 145. ἴμμεναι Heyne, quem omnes fere recentiores secuti sunt. — 366 τρῷεϲ L. δείδητε C 1. man. — 367 ἐγὼ H. — 368 ἐπεὶ ἦ D. ἐπειὴ A Rom. ἐπεὶ ἡ C: ceteri ἐπειή. πολυφέρτεροι G. πολυφέρτεροϲ ἐϲτὶν D. — 369 μύθοιϲι τέλοϲ πάντεϲϲ᾽ L. — 370 μεϲηγὺ D. κολήει G. κολούϲει Townl. — 371 τοῦ C man. rec. DE ter GHS Syr. Heynii libri. Athenaeus VII, 298. Herodianus π. ϲχημάτων 56, 14 (ed. Dind.). Schol. Theocr. IX, 2. Pseudoplut. 111, 50. Rhet. Gr. II, 336, 30; 433, 29. III, 20, 3; 71, 14; 97, 1. τῷ AC 1. man. L. ἐν ἄλλῳ τοῦ δ᾽ ἐγὼ A. ΈΟΙΚΕ Syr. — 373 ὡϲ A. οἵδ᾽ CGH. ἔγχε᾽ ἄειραν: γρ. ἔϲταν ἀχαιῶν A. — 374 τρῷεϲ L. — 375 ἆρ ADGHL. ἕκτορι S (α above ι). — 376 ἀχιλῆϊ CG Syr. — 377 κατα AD. — 378 μή πωϲ ϲ᾽ ACDEGL Syr. μήπωϲ H Vrat. A. omisso ϲ᾽. τύψει Townl. — 379 ὡϲ A. αὖθϊϲ CH. ἐδύϲετο ADE Vrat. A. ἐδύϲϲετο L Lips. ἐδύϲατο CGHS Syr. — 381 ἓν δ᾽ A. ΕΝΘ᾽ Syr. ἀχιλλεὺϲ E Lips. τρῴεϲϲι L. — 383 ὀτρυντΐδην C Lips. — 385 ὑπὸ ACDGH Syr. ὕπο E. ὑπαὶ L. Ὕληϲ Vrat. A. Schol. B 500.

A. c. 371 τοῦ, conf. Β 185. Ε 256. 301. Η 98. 160. Λ 219. 594. Ρ 8. 31. 69. Υ 197. Χ 113. — 384 ὃν: ἔν τιϲι τῶν φαύλων ἀντιγράφων τόν διὰ τοῦ τ̄ Schol. A. — 385 Ὕδηϲ: οὕτωϲ ὕδηϲ διὰ τοῦ δ̄, τῆϲ λυδίαϲ Didymus, conf. Apoll. Soph. 157, 15. Strabo IX, 407.

τὸν δ' ἰθὺϲ μεμαῶτα βάλ' ἔγχεϊ δῖοϲ Ἀχιλλεὺϲ
μέϲϲην κὰκ κεφαλήν· ἡ δ' ἄνδιχα πᾶϲα κεάϲθη.
δούπηϲεν δὲ πεϲών, ὁ δ' ἐπεύξατο δῖοϲ Ἀχιλλεύϲ·
κεῖϲαι Ὀτρυντείδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν·
ἐνθάδε τοι θάνατοϲ, γενεὴ δέ τοί ἐϲτ' ἐπὶ λίμνῃ
Γυγαίῃ, ὅθι τοι τέμενοϲ πατρώιόν ἐϲτιν,
Ὕλλῳ ἐπ' ἰχθυόεντι καὶ Ἕρμῳ δινήεντι.
ὣϲ ἔφατ' εὐχόμενοϲ, τὸν δὲ ϲκότοϲ ὄϲϲε κάλυψε.
τὸν μὲν Ἀχαιῶν ἵπποι ἐπιϲϲώτροιϲ δατέοντο
πρώτῃ ἐν ὑϲμίνῃ· ὁ δ' ἐπ' αὐτῷ Δημολέοντα,
ἐϲθλὸν ἀλεξητῆρα μάχηϲ, Ἀντήνοροϲ υἱόν,
νύξε κατὰ κρόταφον κυνέηϲ διὰ χαλκοπαρῄου.
οὐδ' ἄρα χαλκείη κόρυϲ ἔϲχεθεν, ἀλλὰ δι' αὐτῆϲ
αἰχμὴ ἱεμένη ῥῆξ' ὀϲτέον, ἐγκέφαλοϲ δὲ
ἔνδον ἅπαϲ πεπάλακτο· δάμαϲϲε δέ μιν μεμαῶτα.
Ἱπποδάμαντα δ' ἔπειτα καθ' ἵππων ἀίξαντα,
πρόϲθεν ἕθεν φεύγοντα, μετάφρενον οὔταϲε δουρί.
αὐτὰρ ὁ θυμὸν ἄιϲθε καὶ ἤρυγεν, ὡϲ ὅτε ταῦροϲ
ἤρυγεν ἑλκόμενοϲ Ἑλικώνιον ἀμφὶ ἄνακτα
κούρων ἑλκόντων· γάνυται δέ τε τοῖϲ ἐνοϲίχθων·

---

V. L. 386 τόν ῥ' G. τόνδε θὺϲ μεμαῶτα H. ἀχῖλεύϲ C. — 387 κακ-κεφαλήν ACDGL. κἀκκεφαλήν H. ἣ δ' D. ἥδ' CGHL. — 388 δούπηϲε EG. ὃ δ' DL. ὅδ' CH. ἀχῖλεύϲ C. — 389 ΚЄΙϹ' Syr. ὀτρυντίδη C Lips. ὀτρυντείδηι A. — 390 ἔνθα δέ τοι H Schol. Ι 398. ἐνθα δέ τοι D. ЄΝΘΑΔЄ́ΤΟΙ Syr. ἐνεὴ G. δέ τοι ἔϲτ' ADEGHL. δέ οἵ ἐϲτ' Schol. Δ 60. δ' ἔϲτ' C omisso τοι. — 391 ЄϹΤΙ Syr. πατρώϊον ἐϲτὶν GL. — 392 δη-νήεντι G. — 393 ὡϲ A. φάτ' ἐπευχόμενοϲ Heyne. Clarke. nescio unde. ἔφατ' εὐχόμενοϲ libri mei. ὄϲϲε κάλυψε ACG Syr. κάλυψεν DH. ὄϲϲ' ἐκάλυψε S Vrat. A. Lips. Flor. Rom. ὄϲϲ' ἐκάλυψεν L. — 394 ὀπιϲϲώ-τροιϲ A Syr. ἐπὶ ϲώτροιϲ D. ἐπιϲϲώτροιϲι Rom., quod ferri potest, si δατεῦντο scribitur ut Ψ 121. α 112. — 395 ὃ δ' D 2. man. ὅδ' CGHL. ἐπαυτῶι D. δημολόεντα Mosc. 2. — 396 omitt. D. — 397 νῦξε G. κατα A. δια DH. χαλκοπαρῄου HL: ceteri χαλκοπαρήου. — 399 ἱεμένη DG Townl. Vrat. d. — 400 δάμαϲε E. — 401 δ' ἔπειτα omitt. L Lips. ἀΐξαντα ACL Lips. Vrat. b. Mosc. 2. ἀΐϲϲοντα DGHS. γρ. ἀΐϲϲοντα A. — 402 πρόϲθεν ἔνθεν D. — 403 ὃ ACDGHL Et. Mg. 43, 23. — 404 ἐλι-κώνιον ἀμφιάνακτα D. ἀμφι, άνακτα A. — 405 δέ γε Et. Mg. 221, 17. δὲ τοῖϲ L Lips.

---

A. c. 390 ἐνθάδε Herodianus cum Ptolem. Ascalonita. ἔνθα δέ Schol. A ad Ι 398. — 395 δημολέοντα: οὕτωϲ ἀρίϲταρχοϲ· τινὲϲ δὲ δηϊλέοντα Didymus, conf. Schol. Townl. apud Cram. An. Par. III, 291, 23.

ὣϲ ἄρα τόν γ' ἐρυγόντα λίπ' ὀϲτέα θυμὸϲ ἀγήνωρ.
αὐτὰρ ὃ βῆ ϲὺν δουρὶ μετ' ἀντίθεον Πολύδωρον
Πριαμίδην. τὸν δ' οὔ τι πατὴρ εἴαϲκε μάχεϲθαι,
οὕνεκά οἱ μετὰ παιϲὶ νεώτατοϲ ἔϲκε γόνοιο,
καί οἱ φίλτατοϲ ἔϲκε, πόδεϲϲι δὲ πάνταϲ ἐνίκα·
δὴ τότε νηπιέῃϲι ποδῶν ἀρετὴν ἀναφαίνων
θῦνε διὰ προμάχων, εἵωϲ φίλον ὤλεϲε θυμόν.
τὸν βάλε μέϲϲον ἄκοντι ποδάρκηϲ δῖοϲ Ἀχιλλεὺϲ
νῶτα παραΐϲϲοντοϲ, ὅθι ζωϲτῆροϲ ὀχῆεϲ
χρύϲειοι ϲύνεχον καὶ διπλόοϲ ἤντετο θώρηξ·
ἀντικρὺ δὲ διέϲχε παρ' ὀμφαλὸν ἔγχεοϲ αἰχμή,
γνὺξ δ' ἔριπ' οἰμώξαϲ, νεφέλη δέ μιν ἀμφεκάλυψε
κυανέη, προτὶ οἷ δὲ λάβ' ἔντερα χερϲὶ λιαϲθείϲ.
Ἕκτωρ δ' ὡϲ ἐνόηϲε καϲίγνητον Πολύδωρον
ἔντερα χερϲὶν ἔχοντα, λιαζόμενον ποτὶ γαίῃ,
κάρ ῥά οἱ ὀφθαλμῶν κέχυτ' ἀχλύϲ· οὐδ' ἄρ' ἔτ' ἔτλη
δηρὸν ἑκὰϲ ϲτρωφᾶϲθ', ἀλλ' ἀντίοϲ ἦλθ' Ἀχιλῆι
ὀξὺ δόρυ κραδάων, φλογὶ εἴκελοϲ. αὐτὰρ Ἀχιλλεὺϲ
ὡϲ εἶδ', ὣϲ ἀνέπαλτο, καὶ εὐχόμενοϲ ἔποϲ ηὔδα·
ἐγγὺϲ ἀνήρ, ὃϲ ἐμόν γε μάλιϲτ' ἐϲεμάϲϲατο θυμόν,
ὅϲ μοι ἑταῖρον ἔπεφνε τετιμένον· οὐδ' ἂν ἔτι δὴν
ἀλλήλουϲ πτώϲϲοιμεν ἀνὰ πτολέμοιο γεφύραϲ.

---

V. l. 406 ὥϲ AD 1. man. — 407 ὃ CDGHL. ϲυν A. — 409 μετα D. παιϲὶ ACEL Syr. Vrat. A. Flor. Rom. πᾶϲι DGH. τρωϲὶ Cant. — 410 πάντεϲ L. — 412 θύνε H. δια A. — 413 μέϲον DE Lips. ἀχϊλεύϲ C. — 414 παραΐϲϲοντα EH Townl. Vrat. A. Mosc. 2. παραΐϲϲοντ' Vrat. b. — 417 ἀμφ' ἐκάλυψε A. ἀμφεκάλυψε CDGH. ἐπεκάλυψεν ἢ μᾶλλον ἀμφεκάλυψε E. — 418 προτιὸι D. ποτὶ CH. δὲ, λάβ' L. δὲ λάβ' Vrat. b. ΔΕΛΑΒ Syr. ceteri δ' ἔλαβ'. ἔντερα: ἔντεα Schol. A 368. — 420 δϊαζόμενον G. ποτὶ ACGHLS. ποτι D. ΠΡΟΤῚ Syr. ποτὶ γαίην Zonar. Lex. 119. — 421 καρ, ρά A. κὰρ ῥά C. καῤῥά GH. κὰρ ῥά L apostropho post ρ eraso. ΚΕΧΥΤΟΧΛΟΌϹ Syr. κέχυτο χλοὸϲ Lips. κέχυτο χόλοϲ Harl. ἀρ A. ἆρ DL. ἔτ' omitt. L Lips. — 422 δηλὸν ἑκὰϲ H. ἀχιλῆϊ ACGL Syr. Flor. Rom. ἀχιλῆοϲ DHS Cant. Harl. Townl. Lips. Vrat. A. Mosc. 2. ἀχιλλέωϲ E. — 423 δόρυ omitt. C. ἴκελοϲ E 1214, 40 G. ἴκελοϲ E 1215, 17. ῙΚΕΛΟϹ Syr. ἀχιλεὺϲ C. — 424 ὥϲ bis ACDEGHL. ὥϲ ἴδεν Hesych. IV, 336. ὥϲ ἴδεν ἤγουν ὥϲ εἶδ' E. — 425, 426 omitt. Syr. relicta lacuna. — 425 ἐπεμαϲϲάτο Mor. Schol. Nicand. Alex. 137. — 426 οὐδ' ἆρ ACDEGHS. οὐδ' ἂν L Harl. — 427 ἀλλήλῳ G. πτώϲϲιμεν G. ἀνα ADG.

---

A. c. 414 οὕτωϲ κατὰ γενικὴν παραΐϲϲοντοϲ Didymus, conf. H. S. pg. 226 *. — 426 ἀρίϲταρχοϲ οὐδ' ἂν ἔτι δὴν διὰ τοῦ ᾱν̄ Didymus.

ἦ, καὶ ὑπόδρα ἰδὼν προϲεφώνεεν Ἕκτορα δῖον·
ἆϲϲον ἴθ᾽, ὥϲ κεν θᾶϲϲον ὀλέθρου πείραθ᾽ ἵκηαι.
τὸν δ᾽ οὐ ταρβήϲαϲ προϲέφη κορυθαίολοϲ Ἕκτωρ·
Πηλείδη, μὴ δή μ᾽ ἐπέεϲϲί γε νηπύτιον ὣϲ
ἔλπεο δειδίξεϲθαι, ἐπεὶ ϲάφα οἶδα καὶ αὐτὸϲ
ἠμὲν κερτομίαϲ ἠδ᾽ αἴϲυλα μυθήϲαϲθαι.
οἶδα δ᾽ ὅτι ϲὺ μὲν ἐϲθλόϲ, ἐγὼ δὲ ϲέθεν πολὺ χείρων.
ἀλλ᾽ ἦ τοι μὲν ταῦτα θεῶν ἐν γούναϲι κεῖται,
αἴ κέ ϲε χειρότερόϲ περ ἐὼν ἀπὸ θυμὸν ἕλωμαι
δουρὶ βαλών, ἐπεὶ ἦ καὶ ἐμὸν βέλοϲ ὀξύ πάροιθεν.
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δόρυ, καὶ τό γ᾽ Ἀθήνη
πνοιῇ Ἀχιλλῆοϲ πάλιν ἔτραπε κυδαλίμοιο,
ἦκα μάλα ψύξαϲα· τὸ δ᾽ ἂψ ἵκεθ᾽ Ἕκτορα δῖον,
αὐτοῦ δὲ προπάροιθε ποδῶν πέϲεν. αὐτὰρ Ἀχιλλεὺϲ
ἐμμεμαὼϲ ἐπόρουϲε κατακτάμεναι μενεαίνων,
ϲμερδαλέα ἰάχων· τὸν δ᾽ ἐξήρπαξεν Ἀπόλλων
ῥεῖα μάλ᾽ ὥϲ τε θεόϲ, ἐκάλυψε δ᾽ ἄρ᾽ ἠέρι πολλῇ.
τρὶϲ μὲν ἔπειτ᾽ ἐπόρουϲε ποδάρκηϲ δῖοϲ Ἀχιλλεὺϲ
ἔγχεϊ χαλκείῳ, τρὶϲ δ᾽ ἠέρα τύψε βαθεῖαν.
ἀλλ᾽ ὅτε δὴ τὸ τέταρτον ἐπέϲϲυτο δαίμονι ἶϲοϲ,
δεινὰ δ᾽ ὁμοκλήϲαϲ ἔπεα πτερόεντα προϲηύδα·
ἐξ αὖ νῦν ἔφυγεϲ θάνατον κύον· ἦ τέ τοι ἄγχι
ἦλθε κακόν· νῦν αὖτέ ϲ᾽ ἐρύϲατο Φοῖβοϲ Ἀπόλλων,
ᾧ μέλλειϲ εὔχεϲθαι ἰὼν ἐϲ δοῦπον ἀκόντων.
ἦ θήν ϲ᾽ ἐξανύω γε καὶ ὕϲτερον ἀντιβολήϲαϲ,

---

V. l. 429 ἄϲϲον AD. ἆϲϲον ἦθ᾽ (ἴ superscr.) C. κε G Flor. — 430 κορυθαιόλοϲ AD (?) G Flor. Rom. — 131 ώϲ A. — 432 δειδίξαϲθαι H 1. man. Syr. — 435 libri ἦτοι. ἐπὶ γούναϲι Mor. Barocc. κεῖνται Lips. — 436 αἴ κε ϲε DGH. αἴ κε ϲὲ L. ἀπο AD. — 437 ἐπεὶ ἡ D. ἐπεὶ ἠ C spiritu deleto. ἐπειὴ A. πάροιθε Lips. — 438 ἦ ῥὰ CD 2. man. GHL. ἦρα A. — 439 ἀχιλῆοϲ CG. — 440 ἦκα Et. Gud. 239, 6; 18. ξύϲαϲα C et man. rec. γρ. ψύξαϲα. — 441 ἀχϊλεὺϲ C. — 442 ἀπόρουϲε S Cant. — 443 ἐξήρπαξ D. ἐξήρπαϲεν L — 444 ἆρ ACDEGHL. πολλῇ omitt. H. — 445 ἀχϊλεύϲ C. — 417 omittunt D 1. man. EHLS Syr. Lips. Townl. Rom. habent A (adscripto signo) CD in marg. 3. man. G Flor. — 449 ἐξ αὖδα νῦν H. αὖ δὴ νῦν ἔφυγεϲ Vrat d. — 450 ἦλθε versui praecedenti additum in D. αὖτε γ᾽ L. ἐρύϲατο CDEGHLS Townl. Vrat. b. d. ἐρύϲϲατο A et γρ. ἐρύϲατο. ЄΡ . . . . . . Syr. conf. Β 859. Є 344. Λ 363. Ο 290. Υ 194. α 6. ξ 279. χ 372.

---

A. c. 451 ἐν ἄλλοιϲ οὗτοϲ ὁ ϲτίχοϲ οὐ κεῖται Schol. ap. Bekk. — 452 ἦ Herodianus.

εἴ πού τις καὶ ἐμοί γε θεῶν ἐπιτάῤῥοθός ἐστι.
νῦν αὖ τοὺς ἄλλους ἐπιείσομαι, ὅν κε κιχείω.
ὣς εἰπὼν Δρύοπ' οὖτα κατ' αὐχένα μέσσον ἄκοντι·
ἤριπε δὲ προπάροιθε ποδῶν. ὃ δὲ τὸν μὲν ἔασε,
Δημοῦχον δὲ Φιλητορίδην, ἠΰν τε μέγαν τε,
κὰγ γόνυ δουρὶ βαλὼν ἠρύκακε, τὸν μὲν ἔπειτα
οὐτάζων ξίφεϊ μεγάλῳ ἐξαίνυτο θυμόν.
αὐτὰρ ὃ Λαόγονον καὶ Δάρδανον, υἷε Βίαντος,
ἄμφω ἐφορμηθεὶς ἐξ ἵππων ὦσε χαμᾶζε,
τὸν μὲν δουρὶ βαλών, τὸν δὲ σχεδὸν ἄορι τύψας.
Τρῶα δ' Ἀλαστορίδην· ὃ μὲν ἀντίος ἤλυθε γούνων,
εἴ πως εὖ πεφίδοιτο, λαβών, καὶ ζωὸν ἀφείη,
μηδὲ κατακτείνειεν ὁμηλικίην ἐλεήσας,
νήπιος, οὐδὲ τὸ ᾔδη, ὃ οὐ πείσεσθαι ἔμελλεν·
οὐ γάρ τι γλυκύθυμος ἀνὴρ ἦν οὐδ' ἀγανόφρων,
ἀλλὰ μάλ' ἐμμεμαώς. ὃ μὲν ἥπτετο χείρεσι γούνων,
ἱέμενος λίσσεσθ', ὃ δὲ φασγάνῳ οὖτα καθ' ἧπαρ·
ἐκ δέ οἱ ἧπαρ ὄλισθεν, ἀτὰρ μέλαν αἷμα κατ' αὐτοῦ
κόλπον ἐνέπλησεν· τὸν δὲ σκότος ὄσσε κάλυψε

---

V. l. 453 εἴ που τις ACDGL. εἴ που τῖς H. ἔμοιγε libri. θεὸς E. ἐπιτάρροθος ἐστὶ G. ἐστι ACD Syr. εἴη L Lips. Vrat. b. A. — 454 αὖ τοὺς ἄλλους Harl. Vrat. b. A. Mosc. 2. τοὺς ἄλλους E. δ' ἄλλους τρώων ACDGH Syr. δ' ἄλλους τρῷας L. δ' ἄλλους τρῶας S. γρ. νῦν αὔτους ἄλλους A. ΚΙΧΕΙΩΙ Syr. — 455 ὡς A. οὗτα L. — 456 ὃ δὲ C. ἔασε AC DL Syr. ἔασσε G edd. vett. — 457 δὴ μοῦχον G. φιλοντορίδην Vrat. A. — 458 καγγόνυ ACG. κ' ἀγγόνϋ H. κὰκ γόνυ L. κακγόνυ D Syr. Lips. Harl. Mosc. 2. ἐρύκατε G. — 459 οὔταζον D. — 460 ὃ ACDHL. λαόγονον προπαροξύνεται ἐν τοῖς ἀκριβεστέροις τῶν ἀντιγράφων teste Eust. 1213, 42. — 461 ἐξίππων D. χαμᾶζε AD Syr. χαμάζε CGHL. — 463 τρῷα L. ὃ μὲν C. ἦλθε C. — 464 εἴ πως εὖ ACDGHS Apoll. Soph. 78, 21. εἴ πώς εὖ Eust. 1217, 34. Apoll. de Pron. 97 B. εἴ πως εὖ ἢ εἴ πώς εὖ Eust. 1217, 12. ΕΊΠΩ͂ϹΕΥ Syr. εἴ πως οἱ L Harl. Lips. πεφίειδοιτο D. ἀφίη C. τινὰ τῶν ἀντιγράφων ἀφῄη Eust. 1217, 37. — 465 μὴ δὲ CGHL. — 466 ΗΔΗ Syr. ᾔδη L. οὐ omitt. C. — 467 οὐ γάρ τοι L. οὐ γάρ τις καὶ οὐ γὰρ ἔτι A in marg. ΑΝΗΡ' Syr. — 468 ὃ μὲν C. χερσὶ E. — 469 ἱέμενος D Townl. ὃ δὲ C. οὗτα CDL. καθῆπαρ A. ἯΠΑΡ' Syr. — 470 ἧπαρ ἦλθεν ἀτὰρ H. — 471 ἐνέπρησεν H Vrat. d. Townl. ἐνέπλησεν (ρ supra λ) A. ἐνέπλησε G Lips. Flor. Rom. ὄσσε κάλυψε ACE 1213, 31 GH Syr. κάλυψεν D. ὄσσ' ἐκάλυψε E 1213, 57 Lips. Townl. ἐκάλυψεν L.

---

A. c. 454 ὅν κε κιχείω Aristarchus. — 464 εἴ πώς εὖ Ptolemaeus Ascalonita: εἴ πως εὖ Herodianus. scribendum est εὖ, conf. H. U. 141. — 471 ἐνέπλησεν: ἐνέπρησεν Aristarchus et Philoxenus, conf. Schol. B 415.

θυμοῦ δευόμενον. ὃ δὲ Μούλιον οὖτα παραστὰϲ
δουρὶ κατ᾽ οὖϲ· εἶθαρ δὲ δι᾽ οὔατοϲ ἦλθ᾽ ἑτέροιο
αἰχμὴ χαλκείη. ὃ δ᾽ Ἀγήνοροϲ υἱὸν Ἔχεκλον
μέϲϲην κὰκ κεφαλὴν ξίφει ἤλαϲε κωπήεντι,
πᾶν δ᾽ ὑπεθερμάνθη ξίφοϲ αἵματι· τὸν δὲ κατ᾽ ὄϲϲε
ἔλλαβε πορφύρεοϲ θάνατοϲ καὶ μοῖρα κραταιή.
Δευκαλίωνα δ᾽ ἔπειθ᾽, ἵνα τε ξυνέχουϲι τένοντεϲ
ἀγκῶνοϲ, τῇ τόν γε φίληϲ διὰ χειρὸϲ ἔπειρεν
αἰχμῇ χαλκείῃ· ὃ δέ μιν μένε χεῖρα βαρυνθείϲ,
πρόϲθ᾽ ὁρόων θάνατον· ὃ δὲ φαϲγάνῳ αὐχένα θείναϲ
τῆλ᾽ αὐτῇ πήληκι κάρη βάλε· μυελὸϲ αὖτε
ϲφονδυλίων ἔκπαλθ᾽, ὃ δ᾽ ἐπὶ χθονὶ κεῖτο τανυϲθείϲ.
αὐτὰρ ὃ βῆ ῥ᾽ ἰέναι μετ᾽ ἀμύμονα Πείρεω υἱόν,
Ῥίγμον, ὃϲ ἐκ Θρῄκηϲ ἐριβώλακοϲ εἰληλούθει·
τὸν βάλε μέϲϲον ἄκοντι, πάγη δ᾽ ἐν νηδύι χαλκόϲ,
ἤριπε δ᾽ ἐξ ὀχέων. ὃ δ᾽ Ἀρηίθοον θεράποντα

V. L. 472 οὗτα CL. — 473 κατ᾽ DGHLS Syr.: παρ᾽ AC. γρ. καὶ κατ᾽ οὖϲ A. ἑτάροιο D. — 474 ὃ δ᾽ D. ὅδ᾽ CGHL. — 475 μέϲϲον H. κακκεφαλὴν ACDGHL Syr. κωπήεντι G. — 476 τόνδε G. — 478 τένοντεϲ D ϲ̄ 2. man. addito. τένοντε Vrat. b. A. — 479 ΜΕϹΗϹΔΙΑ ΧΕΙΡΟϹ ΕΛΑϹϹΕΝ Syr. δϊα H. — 480 αἰχμῇ χαλκείῃ libri mei cum Eust. ΑΙΧΜῊΧΑΛΚΕΊΗ Syr. dativum restituit Wolfius adversus Heynium adnotantem „est αἰχμῇ χαλκείῃ in Mosc. 2. alludunt et alii cum un. Vindob." qui si Eustathium inspexisset, scriptum reperisset pg. 1217, 50 Δευκαλίωνα φίληϲ διὰ χειρὸϲ ὁ Ἀχιλλεὺϲ ἔπειρεν αἰχμῇ χαλκείῃ. ὃ δὲ: οἱ δὲ G. — 482 μήλϊκι G. — 483 ϲπονδυλίων G. ὃ δ᾽ D. ὅδ᾽ CHL. — 484 ὃ ACDGHL. ῥ᾽ omitt. L. βῆ τ᾽ ἰέναι Lips. ῥ᾽ ἴέμεναι H. πείρεω libri. — 485 θράκηϲ Harl. — 486 ἐν: ἐνὶ S Cant. Vat. Vrat. b. A. νηδύϊ DGHLS Cant. Vat. edd. vett. πνεύμονι AC Syr. Harl. Mor. Mosc. 2. Vrat. b. A. ἐν ἄλλῳ ἐν νηδύϊ χαλκόϲ A. — 487 ὃ δ᾽ DH. ὅδ᾽ CGL. ἀρηΐθοον D in quo accent. 2. man. add.

A. c. 480 αἰχμῇ χαλκείῃ est vera scriptura, nam πείρω non dicitur de hasta, sed de pugnatore ut Π 405. conf. πεῖράν τ᾽ ὀβελοῖϲιν Η 317. Ω 623. τ 422. περὶ δουρὶ πεπαρμένη Φ 577, coll. Α 465. Β 428. γ 462. μ 365. ξ 430. — 481 πρόϲθ᾽ ὁρόων: Ζηνόδοτοϲ χωρὶϲ τοῦ θ πρόϲ᾽ ὁρόων (an πρόϲϲω ὁρῶν?) Schol. V. — 484 οὕτω πείρεω ὡϲ ἀπ᾽ εὐθείαϲ τῆϲ πείρεωϲ Didymus, conf. Schol. Ϲ 100. ὅτι Ζηνόδοτοϲ γράφει Πείρεωϲ υἱόν Aristonicus. — 486 ἐν νηδύϊ scribendum est, nam in medio corpore h. e. in ventre Rigmus erat vulneratus, conf. Ν 397 δουρὶ μέϲον πέρονηϲε, μέϲῃ δ᾽ ἐν γαϲτέρι πῆξεν. Υ 413 sqq. τὸν βάλε μέϲϲον ἄκοντι . . . . . ἀντικρὺ δὲ διέϲχε παρ᾽ ὀμφαλὸν ἔγχεοϲ αἰχμή. Δ 528 βάλε δουρὶ ϲτερνὸν ὑπὲρ μαζοῖο, πάγη δ᾽ ἐν πνεύμονι χαλκόϲ. scripturam νηδύϊ etiam Grashofus postulat in libello „das Fuhrwerk bei Homer" pg. 28, not. 23. νηδύϊ in editionibus ferebatur usque ad Wolfium, qui motus auctoritate meliorum librorum scripturam πνεύμονι intulit. hunc secuti sunt editores recentiores.

ἂψ ἵππους στρέψαντα μετάφρενον ὀξέι δουρὶ
νύξ᾽, ἀπὸ δ᾽ ἅρματος ὦσε· κυκήθησαν δέ οἱ ἵπποι.
ὡς δ᾽ ἀναμαιμάει βαθέ᾽ ἄγκεα θεσπιδαὲς πῦρ
οὔρεος ἀζαλέοιο, βαθεῖα δὲ καίεται ὕλη,
πάντῃ τε κλονέων ἄνεμος φλόγα εἰλυφάζει,
ὣς ὅ γε πάντῃ θῦνε σὺν ἔγχεϊ δαίμονι ἶσος,
κτεινομένους ἐφέπων· ῥέε δ᾽ αἵματι γαῖα μέλαινα.
ὡς δ᾽ ὅτε τις ζεύξῃ βόας ἄρσενας εὐρυμετώπους
τριβέμεναι κρῖ λευκὸν ἐυκτιμένῃ ἐν ἀλωῇ,
ῥίμφά τε λέπτ᾽ ἐγένοντο βοῶν ὑπὸ πόσσ᾽ ἐριμύκων,
ὣς ὑπ᾽ Ἀχιλλῆος μεγαθύμου μώνυχες ἵπποι
στεῖβον ὁμοῦ νέκυάς τε καὶ ἀσπίδας· αἵματι δ᾽ ἄξων
νέρθεν ἅπας πεπάλακτο καὶ ἄντυγες αἳ περὶ δίφρον,
ἃς ἄρ᾽ ἀφ᾽ ἱππείων ὁπλέων ῥαθάμιγγες ἔβαλλον
αἵ τ᾽ ἀπ᾽ ἐπισσώτρων· ὁ δὲ ἵετο κῦδος ἀρέσθαι
Πηλείδης, λύθρῳ δὲ παλάσσετο χεῖρας ἀάπτους.

---

# ΙΛΙΑΔΟϹ Φ.

Ἀλλ᾽ ὅτε δὴ πόρον ἷξον ἐυῤῥεῖος ποταμοῖο,
Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς,
ἔνθα διατμήξας τοὺς μὲν πεδίον δὲ δίωκε

---

V. ʟ. 488 τρέψαντα E. — 489 ἀπο DH. — 490 ἄγγεα C. — 491 ἐζαλέοιο G. καίται G. — 492 πάντῃ AEG: ceteri πάντη. — 493 ὡς AD 1. man. πάντῃ AEG: ceteri πάντῃ. — 494 ἐφ᾽ ἔπων A. — 495 τὶς C. ζεύξει C. ἄρρενας H Vrat. d. εὐρυμετώπους A. — 496 ἐϋκτιμένῃ ACD GLS Lips. Townl. Vrat. d. Flor. Rom. εὐκτιμένῃ H. ἐϋτροχάλῳ Vrat. b. ЄΥΤΡΟΧΑΛΩΙ Syr. ἐϋκτιμένῃ ἢ ἐϋτροχάλῳ Eust. 1218, 18 et 25. γρ. ἐϋτροχάλωι ἐν ἀλωιῆι A. ἀλωῇ libri. ἁλωῇ Vrat. b. d. — 497 ῥίμφά τε ACD. — 498 ὡς AD 1. man. ἀχῖλῆος C Flor. ἀχιλλέως E. — 499 ϹΤΙΒΟΝ Syr. — 500 αἳ A. περι AD. — 501 ἂρ DGL. ὀπλέων L. ὁπλέων omitt. H. — 502 ΟΠΙϹϹΩΤΡΩΝ Syr. ὃ δὲ C. ἵετο CD. — 503 δ᾽ ἐπαλάσσετο G.

---

A. c. 502 ἀπ᾽ ἐπισσώτρων Aristarchus, conf. ad Λ 537.

---

V. ʟ. 1 ἵξον D Ven. B. Et. Mg. 683, 6. ἷξον A. ἐϋῤῥῆος L Lips. — 3 πεδίονδε δίωκε E 1219, 63 G Harl. Vrat. b. Lips. δίωκεν E 1219, 59 L Schol. Π 394. πεδίονδ᾽ ἐδίωκε ACDS Ven. B. ἐδίωκεν H. ΠЄΔΙΌΝ-ΔЄΔΙΩΚЄ Syr. πεδίονδε ἐδίωκε Eust. 1219, 35.

---

A. c. 1 πόρον: ῥόον Aristophanes. — 2 ἀθάνατος: ἀθάνατον Zenodotus, conf. B 741. Π 174.